17 – 21 **II[1]45** Basilius Caesariensis, *Homilia in Psalmum CXIV*, 5 (PG 29, 492, 40–45)

---

16 – 21 **II[1]45** K cap. A 1, 45 (38v[4]5–10); $V^{E}V^{O}$ cap. A 8, 24; V^{W} cap. A 8, 23; H^{I} cap. A 7, 9; L^{c} cap. A 40, 24; PG 95, 1104, 30–35

II[1]45 (a) K (b) Τοῦ αὐτοῦ $V^{E}V^{O}$ H^{I} (c) *s. a.* V^{W} L^{c}

---

1 καθαιραμένη K, καθαιρομένη $V^{E}V^{O}$ L^{c} **1 – 2** κτῖσματος L^{c} **2** τῇ] τὴν $V^{E}V^{O}$ H^{I} **3** κατασκευὴν *(-εῖν* V^{O}*)* $V^{E}V^{O}$ H^{I} ὅπως] ὅ $V^{O\,a.\,c.}$ **4** ἀριστοτέχνας] *sic* K ὄρθριον $V^{E}V^{O}$ **5** τῶν – ἄνθρωπον] τὸ ζῶον K **6** ἴδοις] εἴδοις K, εἰδῇς *ed.* **6 – 10** Τὰ – πορεύεσθαι] *om.* K **7** ἄνθρωπος $H^{I\,a.\,c.\,ut\,videtur}$ **7 – 8** ἑτοίμως V^{O} **9** ἀπογαστρίοις V^{O} $H^{I\,a.\,c.}$ **10** τὴν ὑψηλοτάτην V^{O} H^{I} **11** ἑαυτῇ $V^{E}V^{O}$ H^{I} πλείστους *(πλή-* V^{O}*)* $V^{E}V^{O}$ H^{I}, πλείονας K **14** τὴν ἐνέργειαν V^{O} **19** διαλύεται V^{O} μέρει K $V^{E\,a.\,c.}$ V^{O}

<II[1]suppl. 139 / V cap. A 8, 25>

II[1]46 / K cap. A 1, 46

Τοῦ ἁγίου Γρηγορίου τοῦ θεολόγου, ἐκ τοῦ μεγάλου ἀπολογητικοῦ·

Τίς *ὁ τῇ σοφίᾳ κατασκευάσας ἄνθρωπον*, καὶ εἰς ἓν ἀγαγὼν τὰ διεστῶτα, καὶ μίξας τὸν χοῦν τῷ πνεύματι, καὶ συνθεὶς ζῶον ὁρατὸν καὶ ἀόρατον, πρόσκαιρον καὶ ἀθάνατον, ἐπίγειον καὶ οὐράνιον, ἁπτόμενον θεοῦ καὶ οὐ περιδρασσόμενον, ἐγγίζον καὶ μακρυνόμενον;

*II[2]55 / T cap. A 1, 55

II[1]47 / K cap. A 1, 47

Τοῦ αὐτοῦ, ἐκ τοῦ περὶ φιλοπτωχίας·

Ὦι πῶς συνεζύγην, οὐκ οἶδα, καὶ πῶς *εἰκὼν* τέ εἰμι *θεοῦ* καὶ τῷ πηλῷ συμφύρομαι· ὃ καὶ εὐεκτοῦν πολεμεῖ, καὶ ἀνιᾷ πολεμούμενον· ὃ καὶ ὡς σύνδουλον ἀγαπῶ, καὶ ὡς ἐχθρὸν ἀποστρέφομαι· ὃ καὶ ὡς δεσμὸν φεύγω, καὶ ὡς συγκληρονόμον αἰσχύνομαι. Τῆξαι

1 II[1]suppl. 139 cf. *Sacra*. Liber II. *Supplementum* (Band VIII/8) **5** Sap. 9, 1[2]–2[1] **12** Gen. 1, 27

5 – 9 II[1]46 Gregorius Nazianzenus, *Apologetica (Orat. 2)*, 75, 1–6 (ed. Bernardi, p. 188) **12 – 83, 18 II[1]47** Gregorius Nazianzenus, *De pauperum amore (Orat. 14)*, 6–7 (PG 35, 865, 11–40)

3 – 9 II[1]46 K cap. A 1, 46 (38v[11]12–14); V[E]V[O] cap. A 8, 26; V[W] cap. A 8, 25; H[I] cap. A 7, 11; L[c] cap. 40, 26; PG 95, 1104, 39–44 **11 – 83, 18 II[1]47** K cap. A 1, 47 (38v[17]18–39r22); V[E]V[O] cap. A 8, 27; V[W] cap. A 8, 26; H[I] cap. A 7, 12; L[c] cap. A 40, 27; PG 95, 1104, 45 – 1105, 19

II[1]46 (a) K (b) Τοῦ Θεολόγου, ἐκ τοῦ μεγάλου ἀπολογητικοῦ V[E]V[O] H[I] L[c] Τοῦ] *om.* L[c] ἀπολογητικοῦ] ἀπολόγου H[I], ἀπολογεῖται L[c] (c) Τοῦ Θεολόγου V[W] **II[1]47** (a) K (b) Τοῦ αὐτοῦ V H[I] (c) *s. a.* L[c]

5 ἄνθρωπον] *praem.* τὸν V[E]V[O] H[I] L[c] **6** μείξας V **7** πρόσκαιρον – ἀθάνατον] *om.* H[I] **8** οὐ] *om.* L[c] **8 – 9** ἐγγίζον – μακρυνόμενον] *om.* K **8 – 9** μακαρϊνόμενον V[O] **12** Ὦι] *(i.e.* τοῦ μοχθηροῦ καὶ ταπεινοῦ καὶ ἀπίστου τούτου σώματος, ed. cit., 865, 10–11*)*, ᾧ K H[I] L[c rubricatoris vitio], ὦ V[W] θεοῦ] *praem.* τοῦ V[W] **14** ὡς[1]] *s. l.* V[W] ἐχθρὸν] αἰσχρὸν K[ut videtur] **15** φεύγειν V[O]

φιλονεικῶ, καὶ οὐκ ἔχω τίνι συνεργῷ πρὸς τὰ κάλλιστα χρήσομαι, ὡς εἰδὼς εἰς ὃ γέγονα, καὶ ὅτι δεῖ με πρὸς θεὸν ἀναβῆναι διὰ τῶν πράξεων. Φείδομαι ὡς συνεργοῦ, καὶ οὐκ ἔχω πῶς φύγω τὴν ἐπανάστασιν, ἢ πῶς μὴ ἀπὸ θεοῦ πέσω, βαρηθεὶς ταῖς πέδαις, κατασπώσαις ἢ κατεχούσαις εἰς ἔδαφος. Ἐχθρός ἐστιν εὐμενὴς καὶ φίλος ἐπίβουλος. Ὦ τῆς συζυγίας καὶ τῆς ἀλλοτριώσεως. Ὃ φοβοῦμαι, περιέπω, καὶ ὃ στέργω, δέδοικα· πρὶν πολεμῆσαι καταλλάσσομαι, καὶ πρὶν εἰρηνεῦσαι διΐσταμαι. Τίς ἡ περὶ ἐμὲ σοφία, καὶ τί τὸ μέγα τοῦτο μυστήριον; Ἢ βούλεται μοῖραν ἡμᾶς ὄντας θεοῦ καὶ ἄνωθεν ῥεύσαντας, ἵνα μὴ διὰ τὴν ἀξίαν ἐπαιρόμενοι καὶ μετεωριζόμενοι καταφρονῶμεν τοῦ κτίσαντος, ἐν τῇ πρὸς τὸ σῶμα πάλῃ καὶ μάχῃ πρὸς αὐτὸν ἀεὶ βλέπειν, καὶ τὴν συνεζευγμένην ἀσθένειαν παιδαγωγίαν εἶναι τοῦ ἀξιώματος, ἵνα εἰδῶμεν οἱ αὐτοὶ μέγιστοί τε ὄντες καὶ ταπεινότατοι, ἐπίγειοι καὶ οὐράνιοι, πρόσκαιροι καὶ ἀθάνατοι, κληρονόμοι φωτὸς καὶ πυρὸς εἴτουν σκότους, ὁποτέρως ἂν νεύσωμεν; Τοιοῦτον τὸ κρᾶμα, καὶ διὰ ταῦτα, ὡς γοῦν ἐμοὶ καταφαίνεται, ἵνα ὅταν ἐπαιρώμεθα διὰ τὴν *εἰκόνα*, διὰ τὸν *χοῦν* συστελλώμεθα.

17 εἰκόνα] Gen. 1, 27 **18** χοῦν] Ibid. 2, 7

1 φιλονικῶ $V^{E}V^{W\ p.\ ras.}$ V^{O} κάλλιστα] καλὰ V^{W} **3 – 18** Φείδομαι – συστελλώμεθα] *om.* V^{W} **4** πῶς] ποῦ L^{c} πέδαις] παῖδες $V^{E\ a.\ c.}$ V^{O}, παίδες $V^{E\ p.\ c.}$ **4 – 5** κατεχούσαις καὶ κατασπώσαις L^{c} **6** ἐπίβολος $V^{E\ a.\ c.}$ Ὦ] ὦ K, ὦ V^{O} συζυγίας] συγίας K **7** περιέπω] *praem.* καὶ K **7 – 8** καταλάλάσσομαι *(sic)* V^{O} **8** καὶ[1] – διΐσταμαι] *om.* K Τίς] τί V^{O} ἡ – ἐμὲ] ὑπερϊὲμὲ V^{O} **9** μέγα τοῦτο] *correxi (ed.)*, μετὰ τοῦτο K, μέγα περὶ ἐμὲ $V^{E}V^{O}$ H^{I} Ἢ] *add.* τῖ V^{O} **12** πάλῃ] πάλιν V^{O} **14 – 15** πρόσκαιροι – ἀθάνατοι] *om.* L^{c} **15** ἤτουν K, εἴτ᾽ *(*εἶτ᾽ V^{E}, εἰτ᾽ V^{O}*)* οὖν $V^{E}V^{O}$ H^{I} **16** ἂν νεύσωμεν] ἀνανεύσωμεν V^{O} τοιοῦτοι V^{O} τὸ] *s. l.* K κράμα K V^{O} **17** γοῦν] χοῦν V^{O} ἵν᾽ ὅταν L^{c} **18** συστελλούμεθα K, συνεστελλώμεθα V^{O}

*II[2] 48 / T cap. A 1, 48

II[1] 48 / K cap. A 1, 48

Τοῦ αὐτοῦ, ἐκ τοῦ εἰς τὰ Θεοφάνεια·

Νοῦς μὲν οὖν ἤδη καὶ αἴσθησις, οὕτως ἀπ᾽ ἀλλήλων διακριθέντα, τῶν ἰδίων ὅρων ἐντὸς εἱστήκεισαν, καὶ τὸ τοῦ δημιουργοῦ λόγου μεγαλεῖον ἐν αὐτοῖς ἔφερον, σιγῶντες ἐπαινέται τῆς μεγαλουργίας καὶ διαπρύσιοι κήρυκες. Οὔπω δὲ ἦν κρᾶμα ἐξ ἀμφοτέρων, οὐδέ τις μίξις τῶν ἐναντίων, σοφίας μείζονος γνώρισμα καὶ τῆς περὶ τὰς φύσεις πολυτελείας, οὐδὲ ὁ πᾶς πλοῦτος τῆς ἀγαθότητος γνώριμος. Τοῦτο δὲ βουληθεὶς ὁ τεχνίτης ἐπιδείξασθαι λόγος, καὶ ζῶον ἓν ἐξ ἀμφοτέρων, ἀοράτου τε λέγω καὶ ὁρατῆς φύσεως, δημιουργεῖ τὸν ἄνθρωπον, καὶ παρὰ μὲν τῆς ὕλης λαβὼν τὸ σῶμα ἤδη προϋποστάσης, παρ᾽ ἑαυτοῦ δὲ ζωὴν ἐνθείς, ὃ δὴ νοερὰν *ψυχὴν* καὶ *εἰκόνα θεοῦ* οἶδεν ὁ λόγος, οἷόν τινα κόσμον δεύτερον, ἐν μικρῷ μέγαν, ἐπὶ τῆς γῆς ἵστησιν, ἄγγελον ἄλλον, προσκυνητήν, μικτόν, ἐπόπτην τῆς ὁρατῆς κτίσεως, μύστην τῶν νοουμένων, βασιλέα τῶν ἐπὶ γῆς, βασιλευόμενον ἄνωθεν, ἐπίγειον καὶ οὐράνιον, πρόσκαιρον καὶ ἀθάνατον, ὁρατὸν καὶ νοούμενον, μέσον μεγέθους καὶ ταπεινότητος, τὸν αὐτὸν πνεῦμα καὶ σάρκα, πνεῦμα διὰ τὴν χάριν, σάρκα διὰ τὴν ἔπαρσιν.

3 – 4 Νοῦς – εἱστήκεισαν] exstat etiam in *Anonymi tractatu ad eos qui dicunt humanis corporibus animas praeexistere*, f. 119v33–34 (Heimgartner, p. 239.42) **6 – 14** Οὔπω – ἵστησιν] exstat ibid., f. 119v34 – 120r4 (Heimgartner, p. 239.43) **9 – 16** Τοῦτο – ἄνωθεν] exstat etiam ap. Iustinian. Imperat., *Edictum contra Origenem* (ed. Schwartz, p. 195, 34 – 196, 2) **12 – 13** ψυχὴν] Gen. 2, 7 **13** εἰκόνα θεοῦ] Ibid. 1, 27

3 – 19 II[1] 48 Gregorius Nazianzenus, *In Theophania (Orat. 38)*, 11, 1–19 (ed. Moreschini, p. 124–126)

2 – 19 II[1] 48 K cap. A 1, 48 (39r[22]23–39v21); *deest in* V H[I] L[c]

5 ἐπαινέται] *scripsi (ed.)*, ἐπαινεταὶ K **6** κράμα K[p. c.]

II[1]49 / K cap. A 1, 49

Καὶ μετ᾽ ὀλίγα·

…ζῶον ἐνταῦθα οἰκονομούμενον καὶ ἀλλαχοῦ μεθιστάμενον καὶ πέρας τοῦ μυστηρίου τῇ πρὸς τὸν θεὸν νεύσει θεούμενον.

II[1]50 / K cap. A 1, 50

*II[2]51 / T cap. A 1, 51

Τοῦ αὐτοῦ, ἐκ τοῦ περὶ εὐταξίας λόγου·

Τάξις τὸν ἄνθρωπον ἐκ λογικοῦ καὶ ἀλόγου συγκρίματος ζῶον λογικὸν συνεστήσατο, καὶ συνέδησεν μυστικῶς καὶ ἀρρήτως τὸν χοῦν τῷ νοΐ, τὸν νοῦν τῷ πνεύματι. Καὶ ἵνα θαυματουργήσῃ τί μεῖζον ἐν τῷ ἑαυτοῦ πλάσματι, τὸ αὐτὸ καὶ διεσώσατο καὶ διέλυσεν· τὸ μὲν γὰρ ὑπεισήγαγεν, τὸ δὲ ὑπεξήγαγεν ὥσπερ ἐν ῥεύματι, καὶ τῷ θνητῷ τὴν ἀθανασίαν ἐπραγματεύσατο διὰ λύσεως.

II[1]51 / K cap. A 1, 51

*II[2]54 / T cap. A 1, 54

Τοῦ αὐτοῦ, ἐκ τοῦ περὶ θεολογίας β′·

Τίς ἡ μίξις ἡμῶν; Τίς ἡ κίνησις; Πῶς τὸ ἀθάνατον τῷ θνητῷ συνε-

---

3 – 4 II[1]49 GREGORIUS NAZIANZENUS, *In Theophania (Orat. 38)*, 11, 22–24 (ed. Moreschini, p. 126) **7 – 12 II[1]50** GREGORIUS NAZIANZENUS, *De moderatione in disputando (Orat. 32)*, 9, 13 – 19 (ed. Moreschini, p. 104) **15 – 86, 6 II[1]51** GREGORIUS NAZIANZENUS, *De theologia II (Orat. 28)*, 22, 2–11 (ed. Gallay/Jourjon, p. 144–146)

---

2 – 4 II[1]49 K cap. A 1, 49 (39v[21–22]22–24); *deest in* V H[I] L[c] **6 – 12 II[1]50** K cap. A 1, 50 (40r[1]2–9); V[E]V[O] cap. A 8, 28; V[W] cap. A 8, 27; H[I] cap. A 7, 13; L[c] cap. A 40, 28; PG 95, 1105, 20–27 **14 – 86, 6 II[1]51** K cap. A 1, 51 (40r[10]11–20); V[E]V[O] cap. A 8, 29; V[W] cap. A 8, 28; L[c] cap. A 40, 29–30; *deest in* H[I]; PG 95, 1105, 28–35

II[1]50 (a) K (b) Τοῦ αὐτοῦ, περὶ εὐταξίας V[E]V[O] H[I] L[c] Τοῦ αὐτοῦ] *om.* L[c] (c) *s. a.* V[W] **II[1]51** (a) K (b) Τοῦ αὐτοῦ, περὶ θεολογίας, τοῦ δευτέρου V[E]V[O] (c) *s. a.* V[W] (d) Ἐκ τοῦ περὶ θεολογίας / *s. a.* L[c] *(cf. infra, app. crit. text.)*

---

7 τάξεις K, τάξας V[W] συγκρίματος] σϋγκρῖμματος L[c], συγκράματος V[W], κράματος *ed.* **10** ἑαυτοῦ πλάσματι] αὐτοῦ πλάσαντϊ L[c] **11** τὸ[1]] τὸν V[O] γὰρ] *s. l.* K ὑπεισήγαγεν] ἐπεισήγαγεν *ed.* **12** διὰ λύσεως] δϊαμύσεως V[O], *om.* V[W] **15** κίνησις] *hic caesura in* L[c]

κράθη; Πῶς κάτω ῥέω καὶ ἄνω φέρομαι; Πῶς ψυχὴ περιφέρεται καὶ ζωὴν δίδωσιν καὶ πάθους μεταλαμβάνει; Πῶς ὁ νοῦς περιγραπτὸς καὶ ἀόριστος, ἐν ἡμῖν μένων καὶ πάντα ἐφοδεύων τάχει φορᾶς καὶ ῥεύσεως; Πῶς μεταλαμβάνεται λόγῳ καὶ μεταδίδοται, καὶ δι᾽ ἀέρος χωρεῖ, καὶ μετὰ τῶν πραγμάτων εἰσέρχεται; Πῶς αἰσθήσει κοινωνεῖ, καὶ συστέλλεται ἀπὸ τῶν αἰσθήσεων;

II[1]52 / K cap. A 1, 52

Τοῦ ἁγίου Γρηγορίου τοῦ Νύσης, ἐκ τῆς εἰς τὸν ἄνθρωπον θεωρίας·

Ὁ ἀρχὴν τῇ κινήσει δοὺς οὐκ ἀμφιβάλλει περὶ τοῦ τέλους.

II[1]53 / K cap. A 1, 53

Τοῦ αὐτοῦ, ἐκ τοῦ κατὰ Εὐνομίου πρώτου κεφαλαίου·

Ὅπου τὸ σύνθετον λέγεται, πάντως ἐκεῖ συνομολογεῖται καὶ ἡ τοῦ συνθέτου διάλυσις.

10 II[1]52 GREGORIUS NYSSENUS, *Contemplatio hominis (De opificio hominis)*, 23, 1 (ed. Forbesius, p. 242, 28 – 244, 1) **13 – 14 II[1]53** GREGORIUS NYSSENUS, *Contra Eunomium*, I, 292 (ed. Jaeger, p. 113, 5–6)

8 – 10 II[1]52 K cap. A 1, 52 (40r[21]22); *deest in* V H[I] L[c] **12 – 14 II[1]53** K cap. A 1, 53 (40r[23]24–40v1); *deest in* V H[I] L[c]

1 Πῶς[2]] *iterav.* V[O] **2** ὁ] *om.* L[c] **2 – 3** περιγραπτὸς] ἀπεριγράπτως K **3** ἀόριστος] ἀορίστως K ὑμῖν V[O] καὶ[2]] *om.* L[c] **4** φθορᾶς V[O] **4 – 6** Πῶς – αἰσθήσεων] *om.* V[W] **5** εἰσέρχεται] ἔρχεται L[c] **5 – 6** Πῶς – συστέλλεται] *om.* V[E]V[O]

II[1]54 / K cap. A 1, 54

Ἐκ τοῦ δ′ λόγου τῶν μακαρισμῶν·

Ὁ περίγειος χῶρος τῶν τρεπομένων καὶ ἀλλοιουμένων ἐστίν.

II[1]55 / K cap. A 1, 55

Εὐσταθίου, ἐκ τοῦ κατὰ Ἀρειανῶν α′·

Πᾶν τὸ ἀρχὴν ἔχον, καὶ τέλος ἐπιδέχεται· πᾶν τὸ τέλος ἐπιδεχόμενον, φθορᾶς ἐστιν δεκτικόν.

II[1]56 / K cap. A 1, 56

Φίλωνος·

Ὁ ἰατρὸς Ἱπποκράτης ἡλικίας ἑπτὰ εἶναί φησιν, παιδίου, παιδός, μειρακίου, νεανίσκου, ἀνδρός, πρεσβυτέρου, γέροντος, ταύτας δὲ μετρεῖσθαι μὲν ἑβδομάσιν, οὐ μὴν ταῖς κατὰ τὸ ἑξῆς. Λέγει δὲ οὕτως· Ἐν ἀνθρώπου φύσει ἑπτά εἰσιν ὧραι, ἃς ἡλικίας καλέουσιν· παιδίον, παῖς, μειράκιον, νεανίσκος, ἀνήρ, πρεσβύτης, γέρων. Καὶ

10 – 88, 6 Ὁ – γέρων] cf. Hippocr. Cous, *De septimanis (= De hebdomadibus)*, 5 (ed. Roscher, p. 9–10)

3 II[1]54 Gregorius Nyssenus, *De beatitudinibus*, re vera *VIII* (ed. Callahan, p. 162, 9–10) **6 – 7 II[1]55** Eustathius Antiochenus, *Contra Arianos*, locus non repertus, fragm. 108 (ed. Declerck, p. 169–170) **10 – 88, 6 II[1]56** Philo Iudaeus, *De opificio mundi*, 105 (ed. Cohn, p. 37, 10–20)

2 – 3 II[1]54 K cap. A 1, 54 (40v[2]3–4); *deest in* V H^{I} L^{c} **5 – 7 II[1]55** K cap. A 1, 55 (40v[4]5–6); $V^{E}V^{O}$ cap. A 8, 35; A^{I} cap. A 7, 23; *deest in* V^{W} $H^{I\,(lac.)}$ L^{c}; PG 95, 1109, 19–20 **9 – 88, 6 II[1]56** K cap. A 1, 56 (40v[6]7–22); $V^{E}V^{O}$ cap. A 8, 33; V^{W} cap. A 8, 32; A^{I} cap. A 7, 21; *deest in* $H^{I\,(lac.)}$ L^{c}; PG 95, 1108, 54 – 1109, 13

II[1]54 δ′] *sic* K **II[1]55** (a) K ἀρειανῶν *cod.* (b) Εὐσταθίου, κατὰ Ἀρειανῶν V A^{I} ἀρεἰανῶν V^{E} **II[1]56** (a) K (b) *s. a.* V (c) Τοῦ αὐτοῦ A^{I}

6 Πᾶν τὸ] *om.* A^{I} τὸ[1]] τὸν V^{O} ἔχων $V^{E}V^{O}$ πᾶν τὸ] τὸ δὲ $V^{E}V^{O}$ A^{I} **10** Ὁ] *om.* V^{O} ἑπτὰ] ζ′ V^{W} **11** πρεσβυτέρου] πρεσβυτ′ V^{O}, πρεσβύτου A^{I} *(= ed.)* δὲ] δεῖ K **12** μὴν] μὲν K ταῖς] τὰς V^{W} τὸ] *in mg.* K **13** ἀνθρώπῳ K φύσει] φύσεις K V^{W} a. ras. ut videtur

παιδίον μέν ἐστιν ἄχρις ἑπτὰ ἐτῶν, ὀδόντων ἐκβολῆς· παῖς δὲ ἄχρι γονῆς ἐκφύσεως, ἐς τὰ δὶς ἑπτά· μειράκιον δὲ ἄχρι γενείου λαχνώσεως, ἐς τὰ τρὶς ἑπτά· νεανίσκος δὲ ἄχρις αὐξήσεως ὅλου τοῦ σώματος, ἐς τὰ τετράκις ἑπτά· ἀνὴρ δὲ ἄχρις ἑνὸς δέοντος τῶν πεντήκοντα, ἐς τὰ ἑπτάκις ἑπτά· πρεσβύτης δὲ ἄχρι πεντήκοντα ἕξ, ἐς τὰ ἑπτάκις ὀκτώ· τὸ δὲ ἐντεῦθεν γέρων.

II[1]57 / K cap. A 1, 57

Τοῦ αὐτοῦ, ἐκ τοῦ πρώτου τῶν ἐν Γενέσει ζητημάτων·

Δυνατὸν ἐν τριακονταετίᾳ τὸν ἄνθρωπον πάππον γενέσθαι· ἡβᾶν μὲν περὶ τὴν τεσσαρεσκαιδεκάτην ἡλικίαν, ἐν ᾗ σπείρει, τὸ δὲ σπαρέν, ἐντὸς ἐνιαυτοῦ γενόμενον, πάλιν πεντεκαιδεκαετίᾳ τὸ ὅμοιον ἑαυτῷ γεννᾶν.

II[1]58 / K cap. A 1, 58

Τοῦ ἁγίου Ἀθανασίου, ἐκ τοῦ περὶ ἁγίου Πάσχα·

Ἐποίησεν οὕτως τὸν ἄνθρωπον ὁ θεός, καὶ ὡς θεὸς ἀγαθὸς τοσοῦτον καὶ τηλικοῦτον ἐποίησεν ἄνθρωπον. Μὴ γὰρ ὅρα αὐτοῦ τὴν νῦν ἀβελτηρίαν, ἀλλὰ τὴν πρώτην φαντάζου κατάστασιν· καὶ

9 – 12 II[1]57 PHILO IUDAEUS, *Quaestiones in Genesim*, II. 5b (ed. Petit, p. 84) **15 – 89, 25 II[1]58** ATHANASIUS ALEXANDRINUS, *De S. Pascha*, re vera (PS.-)IOHANNES CHRYSOSTOMUS, *In S. Pascha sermo 7*, 23–25 (ed. Floëri/Nautin, p. 131, 20 – 135, 6)

8 – 12 II[1]57 K cap. A 1, 57 (40v[22]23–41r3); $V^{E}V^{O}$ cap. A 8, 34; V^{W} cap. A 8, 33; A^{I} cap. A 7, 22; *deest in* $H^{I\,(lac.)}$ L^{c}; PG 95, 1109, 14–18 **14 – 89, 25 II[1]58** K cap. A 1, 58 (41r[3]4–41v16); *deest in* V H^{I} L^{c}; PG 86, 2041, 7–42

II[1]57 (a) K (b) *s. a.* V (c) *s. d.* A^{I}

2 ἐς] εἰς K **3** ἐς] εἰς K **4** ἐς] εἰς K **4 – 5** ἀνὴρ – ἑπτά] *iterav.* V^{O} **4 – 5** δέοντος τῶν] δέον τῶν K, δεόντων $V^{W\,a.\,c.}$, δεόντος $V^{W\,p.\,c.}$ **5** ἐς] εἰς K **5 – 6** πεντήκοντα ἕξ] πεντηκονταέξ K A^{I}, πεντήκοντα V^{O} **6** ἐς] εἰς K **9** τρϊάκοντα ἐτία V^{O} **10** τεσσαρεσκεδεκάτην V^{E}, τέσσαρεσκαιδεκατ′ V^{O}, τεσσαρισκαιδεκάτην V^{W} **11** ἐντὸς] ἐν τοῖς $V^{O\,a.\,c.}$ πεντε καὶ δεκαὲτὲς K, πέντε δέκα ἐτία V^{O} **12** ἑαυτὸν V^{O}

γὰρ *κατ᾽ εἰκόνα* αὐτὸν *ἐποίησεν*. Καὶ ἵνα δείξῃ αὐτοῦ τὴν φύσιν τοῖς ἄστροις ἁμιλλωμένην, ἐμφαίνει ὅτι γυμνὸν ἔθηκεν ἐν παραδείσῳ, στολῆς οὐ χρήζοντα. Οὐδέπω γὰρ ὕβρις συνεληλύθει τῇ ὄψει, ἵνα σκέπης δέηται ὁ ἄνθρωπος, ἀλλ᾽ ἡ Γραφὴ μαρτυρεῖ ὅτι *ἐποίησεν τὸν ἄνθρωπον*, *καὶ ἔθηκεν αὐτὸν ἐν τῷ παραδείσῳ*, καὶ ὅτι *γυμνοὶ ἦσαν καὶ οὐκ ἠσχύνοντο*, ἀλλ᾽ ὥσπερ ἥλιος καὶ σελήνη τῇ ἑαυτῶν γυμνώσει ἐγκαλλωπίζονται, οὕτω δῆτα καὶ οὗτοι ἠφείθησαν τῇ φυσικῇ εὐπρεπείᾳ ἐνωραΐζεσθαι. Τοσαύτην οὖν εὐεργεσίαν εἰς τοῦτο<ν> εἰσενεγκάμενος ὁ θεός, καὶ ἀβροδίαιτον αὐτὸν ἐν παραδείσῳ καταστησάμενος, τῶν δὲ παρ᾽ ἑαυτοῦ χαρίτων πλουσίως αὐτῷ μεταδούς, καὶ τὴν αὐτοῦ αἴσθησιν κατὰ τὸ δίκαιον ἐπεζήτει, καὶ ὑπακοῇ τιμᾶσθαι τὴν χάριν ἐδίκαζεν. Καὶ ἐπειδὴ εἶδεν ὅτι ἀδύνατον αὐτῷ συμφυλαχθῆναι τὴν δωρεάν, <εἰ> μὴ καταφυγῇ καὶ τιμῇ τῇ περὶ τὸν δεδωκότα θεόν, νόμον αὐτῷ φρουρὸν ὁρίζει τῆς φύσεως, ἵνα μνήμῃ καὶ θεραπείᾳ τοῦ νομοθέτου, οἷα ἀγαθοῖς τισι φαρμάκοις, φυλάττεται· καὶ ἀθανασίαν μὲν αὐτῷ, φυλαττομένου τοῦ νόμου, κατεπαγγέλλεται, θάνατον δέ, παραβαθέντος. Ἀλλὰ τούτων οὕτως ἐχόντων, γέγονεν τὰ ἀδόμενα, καὶ *φθόνῳ διαβόλου* πεισθεὶς παραβῆναι τὸν νόμον ὁ ἄνθρωπος, φθαρτὸς γίνεται καὶ ἐξωθεῖται τοῦ παραδείσου, καὶ λοιπὸν εἰς πλῆθος δούς, βίον κτηνώδη ἔζη, ἀθεΐας τε καὶ ἀκολασίας δοχεῖον ἐγένετο. Καὶ διατοῦτο προφῆται ἐβόων περὶ τῆς πρώτης αὐτοῦ ἀξίας καὶ τῆς μετὰ ταῦτα ἀναξιότητος· *Ἄνθρωπος ἐν τιμῇ ὢν οὐ συνῆκεν, παρεσυνεβλήθη τοῖς κτήνεσιν τοῖς ἀνοήτοις, καὶ ὡμοιώθη αὐτοῖς*.

1 Gen. 1, 27 **5** ἐποίησεν – ἄνθρωπον] Ibid. καὶ[1] – παραδείσῳ] Ibid. 2, 15 **6** Ibid. 2, 25 **19** Sap. 2, 24[1] **23 – 25** Ps. 48, 21[1–2]

2 ἐμφαίνει] *scrips. Mai*, ἐμφαίνη K **3** ὕβρις] *scrips. Mai*, ὕβρη K **7 – 8** ἠφείθησαν] *scrips. Mai*, ἠφήθησαν K **9** τοῦτον] *scrips. Mai*, τοῦτο K **11** κατὰ] *correxi (ed.)*, καὶ K **13** εἰ] *supplev. Savile*, *om.* K **14** καταφυγῇ – τῇ] *correxi (ed.)*, καταφυγὴν καὶ τιμῆτι K περὶ] πρὸς *ed.* **16** φυλάττεται] *sic* K, φυλάττηται *scrips. Mai* **17** θάνατον] *scrips. Mai*, θανάτου K

II[1] 59 / K cap. A 1, 59

Τοῦ μακαρίου Κυρίλλου Ἀλεξανδρείας, ἐκ τῶν Γλαφυρῶν·

Ταύτη τοι προαναφήνας ἐν κόσμῳ τῷ δέοντι γῆν τε καὶ οὐρανὸν καὶ τὰ ἐν αὐτοῖς, ἐπὶ τὴν τοῦ ἀνθρώπου κεχώρηκεν κατασκευήν· οὗ τῆς γενέσεως πρεσβυτέραν ἐποιεῖτο τὴν σκέψιν, καίτοι τὴν ἄλλην ἅπασαν κτίσιν ἀποσχεδιάζων ῥήματι, καὶ ἰδίῳ λόγῳ συνιστὰς ὡς θεός. Ἐπειδὴ δέ ἐστιν ὁ ἄνθρωπος ζῶον ἀληθῶς εὐφυὲς καὶ θεοειδέστατον, ὡς ἂν μὴ δοκοίη τῆς ἀνωτάτω δόξης τὸ μίμημα, τῶν ἴσων εἰς ποίησιν τοῖς οὐχ᾽ ὧδε ἔχουσιν λαχεῖν, καὶ προβουλίοις ἐτίμα καὶ αὐτουργίᾳ τὸ τέχνημα. Ἄγαλμα δὲ διαπλάσας ἐκ γῆς, ζῶον αὐτὸ λογικὸν ἀπετέλει, καὶ ἵνα τοὺς τῆς ἰδίας φύσεως ἀνατρέχον λόγους ἄφθαρτον εἴη καὶ ἀνώλεθρον, τὸ ζωοποιὸν εὐθὺς ἐνεχάραττεν πνεῦμα. Γέγραπται γὰρ ὅτι *Ἐνεφύσησεν εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς, καὶ ἐγένετο ὁ ἄνθρωπος εἰς ψυχὴν ζῶσαν*.

[II[1] 60 / K cap. A 1, 60]

Τοῦ αὐτοῦ, ἐκ τοῦ κατὰ Διοδώρου·

Ἀλλ᾽ ὦ σοφέ, φαίην ἄν, ψυχὴ μὲν καὶ σῶμα πρὸς ἀνθρώπου γένεσιν, καὶ οὐκ ἂν προανίσχει θατέρου θάτερον.

---

13 – 15 Gen. 2, 7

---

3 – 15 **II[1] 59** Cyrillus Alexandrinus, *Glaphyra in Genesim*, I, 2 (PG 69, 20, 16 – 31) **18 – 19** **[II[1] 60]** Cyrillus Alexandrinus, *Contra Diodorum et Theodorum*, locus non repertus, Fragm. ιγ′ (ed. Pusey, p. 497)

---

2 – 15 **II[1] 59** K cap. A 1, 59 (41v[16]17–42r9); *deest in* V H[I] L[c] **17 – 19** **[II[1] 60]** K cap. A 1, 60 (42r[9]10 –11); *deest in* V H[I] L[c]; PG 86, 2041, 43 –47

[II[1] 60] διοδωρου K

---

6 – 7 συνιστὰς] *scripsi (ed.)*, ἀποσυνιστὰς K **10** ἐτίμα] *correxi (ed.)*, αἴτημα K **12** ἀνατρέχον] *scripsi*, ἀνατρέχων K **17 – 19** Τοῦ – θάτερον] *seclusi cum Heimgartner (cf. Praef., p.* XXXIV*)* **18** φαίην ἄν] *scrips. Mai*, φαίηναν ἂν K

II[1]61 / K cap. A 1, 61

Ἰωάννου τοῦ Χρυσοστόμου, ἐκ τοῦ *Οὐκ ἐν ἀνθρώπῳ ἡ ὁδὸς αὐτοῦ·*

Οὐχ᾽ ἵνα φάγωμεν καὶ πίωμεν καὶ περιβαλώμεθα, ἐγενήθημεν, ἀλλ᾽ ἵνα φύγωμεν κακίαν, ἐλώμεθα δὲ ἀρετήν, τῆς θείας ἐπιλαβόμενοι φιλοσοφίας. Ὅτι γὰρ οὐχ᾽ ἵνα φάγωμεν καὶ πίωμεν ἐγενήθημεν, ἀλλ᾽ ἐφ᾽ ἑτέροις πολλῷ μείζοσιν καὶ βελτίοσιν, ἄκουσον τοῦ θεοῦ καὶ τὴν αἰτίαν λέγοντος, ἐφ᾽ ᾗ τὸν ἄνθρωπον ἐποίησεν. Διαπλάττων γὰρ αὐτόν, οὕτω πῶς φησίν· *Ποιήσωμεν ἄνθρωπον κατ᾽ εἰκόνα ἡμετέραν καὶ καθ᾽ ὁμοίωσιν*. Ὅμοιοι δὲ θεοῦ γινόμεθα, οὐκ ἐσθίοντες καὶ πίνοντες καὶ περιβαλλόμενοι – θεὸς γὰρ οὔτε ἐσθίει οὔτε πίνει οὔτε περιβάλλεται –, ἀλλὰ δικαιοσύνην ἀσκοῦντες καὶ φιλανθρωπίαν ἐπιδεικνύμενοι, χρηστοὶ καὶ ἐπιεικεῖς ὄντες, τοὺς πλησίον ἐλεοῦντες, ἅπασαν ἀρετὴν διώκοντες, ἐπεὶ τὸ φαγεῖν καὶ τὸ πιεῖν κοινὸν πρὸς τὴν τῶν ἀλόγων φύσιν ἡμῖν ἐστίν, καὶ οὐδὲν ἐκείνων κατὰ τοῦτο ἀμείνους ἐσμέν.

<II[1]suppl. 140 / V cap. A 8, 31>

9 – 10 Gen. 1, 26 **17** **II[1]suppl. 140** cf. *Sacra*. Liber II. *Supplementum* (Band VIII/8)

4 – 16 **II[1]61** IOHANNES CHRYSOSTOMUS, *In illud:* Domine, non est in homine *(Ier. 10, 23)*, 3 –4 (PG 56, 159, 1–17)

2 – 16 **II[1]61** K cap. A 1, 61 (42r[12]13 –42v5); V[E]V[O] cap. A 8, 30; V[W] cap. A 8, 29; H[I] cap. A 7, 14; A[I] cap. A 7, 18; L[c] cap. A 40, 32; PG 95, 1105, 36 – 1108, 2

II[1]61 (a) K (b) Τοῦ Χρυσοστόμου V A[I] Τοῦ] *om.* V[W] χρυσοστομου V[E] A[I] (c) *s. a.* L[c] (d) *deest in* H[I (lac.)]

4 περιβαλλώμεθα V[W] H[I a. c.] L[c] ἐγεννήθημεν V[W]V[O] L[c] **6** γὰρ] χρὴ V[O a. c. ut videtur] **6 – 7** ἐγεννήθημεν L[c], ἐγεννόμεθα V[W a. ras.], ἐγενόμεθα V[W p. ras.] *(= ed.), om.* K **7** πολλῷ] πολλοῖς L[c] βελτίοσιν] *add.* ἐγενόμεθα K **8** ἄνθρωπον] ἄνδρα L[c] **8 – 9** διαπλάσσων K **9** αὐτόν] αὐτῶ L[c] *(ubi nulla interpunctio ante* οὕτω*)* **10** Ὅμοιοι] ἄλλοι L[c] θεῷ K **11** ἐσθίειν V[O] **12** πίνει] πίνην V[O] ἀσκοῦντες] ἀκοῦντες V[O a. c. man. rec.] **15** τὸ] *om.* K **16** ἐκεῖνοι V[O a. c. man. rec.]

[II[1]62 / K cap. A 1, 62]

Ἐλευθερίου Τυάνων, ἐκ τοῦ κατὰ Ἀπολιναρίου κε′ κεφαλαίου·

Ἄνθρωπος γὰρ ἐκ ψυχῆς ὢν νοητῆς καὶ σώματος αἰσθητοῦ, μιᾶς ὑποστάσεως, γνωρίζεται, διὰ τὸ μηδέτερον χωρὶς τοῦ ἑτέρου προάγουσαν ἔχειν ὑπόστασιν, μὴ δὲ σώζειν τὸν ὅρον τῆς φύσεως, κατὰ ταὐ<τὸν> μὲν ἀρχὴν τοῦ εἶναι λαμβάνοντα καὶ οὕτως εἰς τὸν βίον ἐρχόμενα, ἑνὸς δὲ ζώου φύσιν ἐργαζόμενα.

[II[1]63 / K cap. A 1, 63]

Ἀντιόχου Πτολεμαΐδος, ἐκ τοῦ εἰς τὸν Ἀδὰμ λόγου·

Τὰ μὲν ἄλλα τετράποδα ποιῶν ὁ θεός, ὁμοῦ μετὰ τῶν σωμάτων καὶ τὰς ψυχὰς παρήγαγεν· τὸν δὲ ἄνθρωπον πλάττων, πρῶτον κατασκευάζει τὸ τοῦ σώματος ὄργανον, καὶ τότε τὴν ψυχὴν δημιουργήσας ἐνέθηκεν, ἵνα καὶ ἐν τούτῳ δείξῃ τὴν ὑπεροχὴν τοῦ ἀνθρώπου· ἐπειδὴ τὰ μὲν ἄλλα ζῶα καὶ τὰ κτήνη, λυόμενα θανάτῳ, συναφανίζει τῷ σώματι καὶ τὴν ψυχήν – ἐκεῖ γὰρ αὐτῶν λέγει τὴν γένεσιν, ὅπου πάλιν ἔμελλεν τὸ πᾶν ἀφανίζεσθαι –, τὸν δὲ ἄνθρωπον πλάσας, τὸ μὲν σῶμα *ἀπὸ τῆς γῆς* λαμβάνει, τὴν δὲ ψυχὴν *ἐμφυσᾷ*.

---

10 – 17 exstat etiam in *Anonymi tractatu ad eos qui dicunt humanis corporibus animas praeexistere*, f. 125v2–9 (Heimgartner, p. 243.92) **16 – 17** Gen. 2, 7

---

3 – 7 **[II[1]62]** Eutherius Tyanensis, *Confutationes quarundam propositionum*, 22 (ed. Tetz, p. 44, 2–6) **10 – 17** **[II[1]63]** Antiochus ep. Ptolemaïdis, *In Adamum*, re vera Severianus Gabalensis, *Quomodo animam acceperit Adamus* (ed. Savile, p. 649, 22–27)

---

2 – 7 **[II[1]62]** K cap. A 1, 62 (42v[6]7–13); *deest in* V H[I] L[c]; PG 86, 2044, 1–8 **9 – 17** **[II[1]63]** K cap. A 1, 63 (42v[13–14]15–43r1); *deest in* V H[I] L[c]; PG 86, 2044, 9–20

[II[1]62] Ἐλευθερίου] *sic (*ἐλ- *in mg.)* K Τυάνων] *scripsi*, τοιανῶν K *(cf. infra,* II[1]116 / K cap. A 2, 38*)* **[II[1]63]** αντιόχου K

---

2 – 7 Ἐλευθερίου – ἐργαζόμενα] *seclusi cum Heimgartner (cf. Praef., p.* XXXIV*)* **3 – 4** μιᾶς – γνωρίζεται] ζῷον γνωρίζεται εἰκότως *ed.* **5** ταὐτὸν] *scripsi (ed.)*, ταύτην *Mai*, *sed* -την *non liquet in* K **6** λαμβάνοντα] λαβόντα ἐκ γαστρὸς *ed.* φύσιν] σύστασιν *ed.* **7** ἐργαζόμενα] *correxi (ed.)*, ἐργαζόμεθα K **9 – 17** Ἀντιόχου – ἐμφυσᾷ] *seclusi cum Heimgartner (cf. Praef., p.* XXXIV*)* **10** ὁμοῦ] *s. l.* K **14 – 15** ἐκεῖ γὰρ] ἐκεῖθεν *ed.*

[II[1]64 / K cap. A 1, 64]

Καὶ μετ᾽ ὀλίγα·

Πλάττει τὸ σῶμα πρῶτον, καὶ πρῶτον ἄνθρωπος ἔλαβεν εἰκόνα νεκράν, καὶ τότε εἰκόνα ζῶσαν, καὶ ζῶντα χαρακτῆρα, καὶ ζῶσαν τὴν ἐνέργειαν τῆς ψυχῆς ἐδέξατο. Πρῶτον ἐδείχθη νεκρός, εἶτα ζῶν. Πρῶτον ἔπλασεν σῶμα νεκρόν, εἰς ὃ ἔμελλεν καταλήγειν ὁ ἄνθρωπος· εἶτα, ὅτε ἀπετέλεσεν τὸ νεκρὸν σῶμα, τότε ἀπέδωκεν ζῶντα τὸν χαρακτῆρα. Καὶ οὐ ποιεῖ τὴν ψυχὴν πρὸ τοῦ σώματος, ἵνα μὴ γένηται αὐτόπτης τῶν γινομένων· οὐ ποιεῖ τὴν ψυχὴν παρεῖναι τῇ δημιουργίᾳ, ἵνα μὴ καυχήσηται ὡς συνεργὸς τοῦ θεοῦ.

[II[1]65 / K cap. A 1, 65]

Γενναδίου Κωνσταντινουπόλεως, ἐκ τοῦ πρὸς Παρθένιον δευτέρου λόγου·

Οὐκ ἂν εὕροι τις τὴν φύσιν μᾶλλον <ἢ> ἧττον ἐν τῷ κτιζομένῳ παρὰ τὴν τοῦ κτίσαντος. Ἔπειτα δὲ ἡ μὲν Ἐλισάβετ ἢ εἴ τις οὖν γυνὴ <οὐ> κωλύεται καὶ τὴν ψυχὴν ἀπογεννᾶν σὺν τῷ σώματι, πρῶτον μὲν ὅτι δευτέρα τῆς σαρκὸς ἡ ψυχὴ τὴν ὕπαρξιν εἴληφεν καὶ οὐκ ἄλλοθι, δεύτερον δὲ ὅτι τὴν ὑπόστασιν τῷ σώματι περιγράφεται, ὡς καὶ τοὺς τόπους συμμεταλλάττειν αὐτῷ, καὶ μήπω μὲν ἐκ μήτρας προελθόντων τῶν βρεφῶν, συγκατεῖρχθαι τῷ σώματι καὶ αὐτάς, ἀποτεχθέντων δέ, ὁμοίως [ὡς] ἀπολελοιπέναι τὴν μήτραν τῷ σώματι.

---

3 – 9 exstat etiam in *Anonymi tractatu ad eos qui dicunt humanis corporibus animas praeexistere*, f. 125v9–16 (Heimgartner, p. 243.93)

---

3 – 9 **[II[1]64]** Antiochus Ptolemaïdis, *In Adamum*, re vera Severianus Gabalensis, *Quomodo animam acceperit Adamus* (ed. Savile, p. 649, 29–34) **12 – 19** **[II[1]65]** Gennadius Constantinopolitanus, *Libri ad Parthenium*, II, locus non repertus (ed. Diekamp, Fragm. VI, 2 [p. 77])

---

2 – 9 **[II[1]64]** K cap. A 1, 64 (43r[1]1–12); *deest in* V H[I] L[c]; PG 86, 2044, 20–30 **11 – 19** **[II[1]65]** K cap. A 1, 65 (43r[13–14]15–43v2); *deest in* V H[I] L[c]; PG 86, 2044, 31–43

---

2 – 9 Καὶ – θεοῦ] *seclusi cum Heimgartner (cf. Praef., p.* XXXIV*)* **5** Πρῶτον[1]] *correxi (ed.)*, πρῶτος K **6** καταλήγειν] καταλέγειν K[a. c.] τὸ] *scrips. Mai*, τὸν K **11 – 19** Γενναδίου – σώματι] *seclusi cum Heimgartner (cf. Praef., p.* XXXIV*)* **12** ἢ] *supplev. Diekamp* **13** οὐ] *supplev. Diekamp* **18** αὐτάς] *sc.* τὰς ψυχάς ὡς] *del. Mai*

[II[1]66 / K cap. A 1, 66]

Τοῦ ἁγίου Ἀθανασίου, ἐκ τοῦ πρὸς φιλόσοφον Μάξιμον·

Ἀδὰμ μόνος ὑπὸ μόνου θεοῦ διὰ τοῦ λόγου αὐτοῦ γέγονεν· ἀλλ᾽ οὐκ ἐν τῷ πάλιν τὸν Ἀδὰμ πλέον τι τῶν πάντων ἀνθρώπων ἔχειν ἤδη διαφέρειν αὐτὸν τῶν μετ᾽ αὐτὸν ἄν τις φήσειεν, εἰ μόνος μὲν αὐτὸς ὑπὸ μόνου τοῦ θεοῦ πεποίηται καὶ πέπλασται, ἡμεῖς δὲ πάντες ἐκ τοῦ Ἀδὰμ γεννώμεθα καὶ κατὰ διαδοχὴν τοῦ γένους συνιστάμεθα, ὥσπερ μόνος καὶ αὐτὸς ἐκ γῆς ἐπλάσθη καὶ μὴ ὢν πρότερον ὕστερον γέγονεν. Εἰ δὲ καὶ πλέον τίς τῷ πρωτοπλάστῳ δοίη διὰ τὸ κατηξιῶσθαι τοῦ θεοῦ τῆς χειρὸς αὐτόν, ἀλλ᾽ ἐν τιμῇ καὶ μὴ τῇ φύσει τὸ πλέον εἰς αὐτὸν ὁ τοιοῦτος λογιζέσθω· ἐκ γῆς γὰρ γέγονεν, ὥσπερ καὶ πάντες.

6 – 8 ἡμεῖς – γέγονεν] exstat etiam in *Anonymi tractatu ad eos qui dicunt humanis corporibus animas praeexistere*, f. 118r35–37 (Heimgartner, p. 237.23)

3 – 11 **[II[1]66]** ATHANASIUS ALEXANDRINUS, *Ad Maximum philosophum (De decretis Nicaenae Synodi)*, 8, 4 – 9, 1 (ed. Opitz, p. 8, 10–17); de lemmate vide DECLERCK, *À qui la lettre*, p. 389sqq.

2 – 11 **[II[1]66]** K cap. A 1, 66 (43v[2]3–15); *deest in* V H[I] L[c]

2 – 11 Τοῦ – πάντες] *seclusi cum Heimgartner (cf. Praef., p.* XXXIV*)* **4** ἤδη] *sic* K *(cf.* DECLERCK*, À qui la lettre*, *p.* 390–391 *cum n.* 35*)* **5** τῶν] *correxi (ed.)*, τὸν K **7** ὥσπερ μόνος] ἕως μόνον *ed. (cf.* DECLERCK*, À qui la lettre*, *p.* 390–391 *cum n.* 33*)* **9** κατηξιῶσθαι] *scripsi (ed.)*, καταξιῶσθαι K

[II[1]67 / K cap. A 1, 67]

Κλήμεντος, ἐκ τοῦ η′ Στρώματος·

Ὁ θεὸς ἡμᾶς ἐποίησεν οὐ προόντας· ἐχρῆν γὰρ καὶ εἰδέναι ἡμᾶς ὅπου ἦμεν εἰ προῆμεν, καὶ πῶς καὶ διατί δεῦρο ἥκαμεν. Εἰ δὲ οὐ προῆμεν, τῆς γενέσεως αἴτιος μόνος ὁ θεός. Ὡς οὖν οὐκ ὄντας ἐποίησεν, οὕτως καὶ γενομένους σώζει τῇ ἰδίᾳ χάριτι.

II[1]68 / K cap. A 1, 68

Τοῦ μακαρίου Ἀντιπάτρου Βοστρῶν, ἐκ τοῦ κατὰ Ὠριγένους κεφαλαίου ζ′·

Ὁ ποιήσας τὸν ἄνθρωπον ἀπ᾽ ἀρχῆς *ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς*· οὐ πρῶτον κατ᾽ αὐτὸν νόας καὶ ἐξ ἁμαρτιῶν ἀνθρώπους, ἀλλ᾽ ἐξ ἀρχῆς ποιήσας, ἀνθρώπους ἐποίησεν, ὡς ἡ τοῦ κυρίου φωνὴ διδάσκει, λέγουσα· *Ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς*. Συναμφότερον γὰρ ἐξ ἀρχῆς καταβληθὲν ὑπὸ τοῦ θεοῦ, καὶ τὴν παρ᾽ αὐτοῦ τῆς αὐξήσεως εὐλογίαν ἐδέξατο κατὰ τὸ εἰρημένον· *Εὐλόγησεν αὐτοὺς ὁ θεὸς λέγων· Αὐξάνεσθε καὶ πληθύνεσθε*· ὅπερ οὐ λόγον ψιλὸν ἀκούομεν, ἀλλ᾽ ἔργον ὁρῶμεν ἀποτελεσθὲν καὶ ἐνεργούμενον ἕως τῆς συντελείας τοῦ αἰῶνος τούτου, καὶ *ἐξ ἑνὸς αἵματος* γεγονὸς *πᾶν ἔθνος ἀνθρώπων* καὶ *κατοικοῦν ἐπὶ πᾶν τὸ πρόσωπον τῆς γῆς* κατὰ τὴν τοῦ Ἀποστόλου φωνήν, οὐκ ἐξ ἁμαρτιῶν καὶ

3 – 4 Ὁ – ἥκαμεν] exstat etiam in *Anonymi tractatu ad eos qui dicunt humanis corporibus animas praeexistere*, f. 116v37 – 117r1 (Heimgartner, p. 236.7) **10 – 11** Gen. 1, 27 **13** Ibid. **15 – 16** Ibid. 1, 28 **18 – 20** Act. 17, 26

3 – 6 **[II[1]67]** Clemens Alexandrinus, *Stromata*, VIII, re vera *Eclogae propheticae*, 17, 1–2 (ed. Nardi, p. 52, 19 – 54, 1); Holl, n° 280 **10 – 98, 32** **II[1]68** Antipater Bostrensis, *Contradictiones in Eusebium episcopum Caesareae pro Origenis defensione*, 7, locus non repertus

2 – 6 **[II[1]67]** K cap. A 1, 67 (43v[16]17–22); *deest in* V H[I] L[c]; PG 86, 2044, 44 – 2045, 5 **8 – 98, 32** **II[1]68** K cap. A 1, 68 (43v[22–23]24 –46v22); *deest in* V H[I] L[c]; PG 86, 2045, 6 – 2049, 35

2 – 6 Κλήμεντος – χάριτι] *seclusi cum Heimgartner (cf. Praef., p.* XXXIV*)* **5** καὶ] *s. l.* K **8 – 98, 32** Τοῦ – ἐξελήλυθεν] *secludenda putat Heimgartner (cf. Praef., p.* XXXIV, *n.* 37*)* **12 – 13** φωνὴ] *scrips. Mai*, φωνῆ K **19** γεγονὸς] *scrips. Mai*, γεγονὼς K

ἀποπτώσεως πληθυνθέν, ὡς ἡ τούτων διδάσκει γραφή, ἀλλ᾽ ἐκ τῆς τοῦ θεοῦ εὐλογίας, ὡς ὁ Προφήτης ἐδήλωσεν. Εἰ γὰρ ἐκ παραβάσεως καὶ ἐκ τῆς τοῦ καλοῦ ἀποψύξεως τὸ τῶν ἀνθρώπων πληθύνεται γένος, οὐκ εὐλογία, ἀλλὰ κατάρα μᾶλλον ἂν δικαίως λεχθείη· καὶ οὐκ *ἐξ ἑνὸς αἵματος* ἀνθρώπου, ἀλλ᾽ ἐκ πολλῶν, καὶ ἐφ᾽ ὅσον τὴν ἀπόρρευσιν συνέβη γενέσθαι, συνέστη ἂν τὸ τῶν ἀνθρώπων γένος. Οὐ γὰρ δὴ χώραν ἔξει, †ἡ ἑνὸς μόνου ὑπὸ δύο† πρὸ τῶν ἀπορρευσάντων καὶ καταδικασθέντων τοῖς σώμασιν, μετὰ τοῦτο, ὅτε καὶ ἡ πεῖρα φοβεῖν ἠδύνατο, τοσαύτας λέγειν ἀπορρεῦσαι μυριάδας, ὥστε *κατοικεῖν ἐπὶ πᾶν τὸ πρόσωπον τῆς γῆς*. Εἰ δὲ πολλῶν ἀπορρευσάντων ὑφ᾽ ἕν, εἷς μόνος τέως εἰς σῶμα κατεδικάσθη, οὐδαμῶς ἡ παρ᾽ αὐτῶν ἀπαιτουμένη τοῦ θεοῦ δικαιοκρισία δύναται σώζεσθαι, εἰ πολλῶν ἀξίων τῆς τοιαύτης ὑφ᾽ ἓν γεγονότων τιμωρίας, εἷς μόνος ἐν τῷ τέως κατεδικάσθη τῇ σαρκὶ ἐνδεθῆναι, τῶν ἄλλων ὑπερθεμένου τὴν τοιαύτην τιμωρίαν.

Εἰ δὲ ἄλλό τι νοῆσαι θελήσουσι τόν τε Ἀδὰμ καὶ τὴν Εὔαν, πρῶτον μὲν ἐναντιοῦνται τῷ ἐκκλησιαστικῷ κηρύγματι, μηδὲν ἄλλο κηρυττούσης τῆς ἐκκλησίας περὶ αὐτῶν ἢ ὅτι πρῶτοι καὶ μόνοι γεγόνασιν ἄνθρωποι, καὶ ἐξ αὐτῶν τὸ πᾶν τῶν ἀνθρώπων συνέστηκεν γένος, ὥσπερ οὖν καὶ αὐτοῖς ὡμολόγηται, καθὼς καὶ εἰς ἄλλους παρεθέμεθα αὐτοὺς λέγοντας ὅτι διδάσκει τὸ εὐαγγελικὸν κήρυγμα ὅτι τῶν ἀπὸ κτίσεως <καὶ καταβο>λῆς κόσμου δικαίων *θεός, Ἀδάμ, Σήθ, Ἐνώχ, Ἀβραάμ.*Ἔπειτα δὲ καὶ ἑαυτοῖς ἐναντίοι εὑρίσκονται· τὸν γὰρ Ἀβραὰμ ἄνθρωπον ἡγοῦνται, καὶ τὸ ἐξ αὐτοῦ ἔθνος κατὰ τὴν ἱστορίαν νοοῦσιν ὁμοίως ἐξ αὐτοῦ γεννηθέντας ἀνθρώπους. Εἴ τι δ᾽ ἂν οὖν περὶ τοῦ Ἀδὰμ ἀλληγορῆσαι θελήσουσιν, ὁ αὐτὸς κατὰ πάντα<ς> ἁρμόσει λόγος, περί τε τοῦ Σήθ, τοῦ Ἐνώχ, τοῦ Νῶε, τοῦ Ἀβραάμ, συντόμως δὲ εἰπεῖν καὶ περὶ τῶν λοιπῶν προφητῶν καὶ ἀποστόλων, ἡμῶν τε αὐτῶν, καὶ εὑρισκόμεθα πάντες ἄλλό τι καὶ οὐ κ<ατ᾽> ἀλήθειαν ὄντες. Εἰ γὰρ

1 – 2 cf. Gen. 1, 28 **4** εὐλογία] cf. ibid. 1, 28 **5** Act. 17, 26 **10** Ibid. **23** Luc. 3, 37–38; 34

2 εὐλογίας] εὐλογία K[a. c.] **6** ἐφ᾽ ὅσον] *scripsi*, ὑφοσαν K, ὑφ᾽ ὅσων *scrips. Mai* συνέστη ἄν] *scripsi*, συνέστησαν K **7** ἔξει] *scripsi*, ἕξη K, ἕξῃ *Mai* †ἡ – δύο†] *cruces apposui*, *sic* K **8** *post* σώμασιν <ἢ> *supplev. Mai* **15** ὑπερθεμένου] *forsan addendum* τοῦ θεοῦ **18** κηρυττούσης] κηρυγούσης K[a. c. ut videtur] **22** καὶ καταβολῆς] *scripsi*, καὶ κατασκευῆς *Mai*, *non liquent in* K **24** *post* ἄνθρωπον <εἶναι> *supplev. Mai*, *non liquet in* K **25** αὐτοῦ[2]] *scrips. Mai*, αὐτῶ K **27** πάντας] *scripsi*, πάντα K **30** οὐ – ἀλήθειαν] *scrips. Mai*, οὐκαλήθειαν K

μὴ ὁ Ἀδὰμ ἄνθρωπος οἶ<ο>ς ὁ καθεῖς ἐστιν, δῆλον ὅτι οὐδὲ οἱ καθεξῆς. Τῆς γὰρ αὐτῆς ἀκολουθίας ὁ Προφήτης λαβόμενος, μίαν καὶ τὴν αὐτὴν τοῖς πᾶσιν τάξιν ἐπέθηκεν ἐξ αὐτοῦ τὴν ἀρχὴν λαβοῦσιν, ὡς ἡ παρ᾽ αὐτοῦ συγγραφεῖσα ἱστορία δηλοῖ, ἦτινι καὶ ὁ θεῖος εὐαγγελιστὴς κατακολουθῶν, τὸ τῆς ἱστορίας ἀληθὲς ἐβεβαίωσεν, ἀρξάμενος ἐν τῇ κατὰ τὸν δεσπότην Χριστὸν γενεαλογίᾳ ἀπὸ τοῦ Ἰωσήφ, ὃς πατὴρ κατὰ σάρκα τοῦ δεσπότου Χριστοῦ ἐχρημάτισεν. Ἔπειτα ἀνωτέρω χωρῶν καὶ τοὺς ἄλλους γεννήτορας καταγράφων, ἦλθεν διὰ πάσης τῆς ἱστορίας καθεξῆς τῇ Μωσαϊκῇ παραδόσει χρησάμενος· καὶ διὰ τοῦ Ἀβραὰμ καὶ τοῦ Ἐνὼχ ὁδεύσας, ἐπ᾽ αὐτὸν ἔφθασεν τὸν Ἀδάμ, κακεῖθεν ἐπὶ τὸν πάντων δημιουργόν, *τοῦ Ἐνώς, τοῦ Σήθ, τοῦ Ἀδάμ, τοῦ θεοῦ*, μηδὲν ἀλληγορίας λείψανον περὶ τὰς διαδοχὰς καταλείψας, ἀλλὰ μίαν καὶ τὴν αὐτὴν ἀποδείξας τάξιν, ἀπὸ τοῦ Ἀδὰμ καὶ μέχρι τοῦ Ἰωσήφ· δῆλον δὴ ὅτι ἡ αὐτὴ σώζεται ἀκολουθία καὶ μέχρις ἡμῶν.

Ποῦ οὖν χῶραν ἔξει τὸ ἀπορρεύσαντας τοὺς νόας πεσεῖν εἰς τὴν τῶν σαρκῶν ἔνδεσιν, ἐν αἷς τὸ τῶν ἡδονῶν, ὡς φασίν, ἐμφωλεύει στῖφος; Οὐ γὰρ δυνατὸν ἢ ἕνα μόνον τότε ἀπορρεύσαντα λέγειν τῆς τοιαύτης ἄξιον, ὡς αὐτοὶ λέγουσιν, καταδίκης γενέσθαι, ἢ πολλῶν ἀπορρευσάντων, ἕνα μόνον καταδικασθῆναι, καὶ εὐλογίαν τὴν αὔξησιν λαβεῖν παρ᾽ αὐτοῦ τοῦ θεοῦ. Πάντως γὰρ ἐγίνωσκον οἱ μὴ καταπεσόντες, οἱ καὶ *εἰς διακονίαν ἀποστελλόμενοι διὰ τοὺς μέλλοντας κληρονομεῖν σωτηρίαν*, τὴν γενομένην καταδίκην τῷ ἑνί, καὶ ἀσφαλεστέρους ἑαυτοὺς ἐποίουν εἰς τὸ μὴ καὶ αὐτοὺς καταπεσεῖν, καὶ οὐχὶ μετὰ τὴν γνῶσιν τῆς τιμωρίας τοσαύτη ἐπίδοσις τῶν καταπιπτόντων ἐγίνετο. Εἰ γὰρ οὐκ ἐγίνωσκον, πρῶτον μὲν ζητήσεως ἄξιον, πῶς ἐκείνων μὴ γινωσκόντων, γινώσκουσιν οὗτοι· ἔπειτα μέντοι, πῶς *εἰς διακονίαν ἀπεστέλλοντο*, μὴ εἰδότες τίς ἡ κατὰ τοὺς ἀνθρώπους οἰκονομία· πῶς δὲ εἰκός, πολλῶν ὁμοῦ πεπτωκότων, τοσαύτην γενέσθαι τὴν ἐπίδοσιν τῶν ἀνθρώπων, ὡς μὴ ἐκ πάντων, *ἐξ ἑνὸς* δὲ *αἵματος* πληρῶ-

2 – 4 cf. Gen. 5, 3–32 **4 – 7** cf. Luc. 3, 23 **12** Ibid. 3, 38 **20 – 21** cf. Gen. 1, 28 **22 – 23** Hebr. 1, 14 **28 – 29** Ibid. **31 – 98, 1** Act. 17, 26

1 οἶος ὁ] *scripsi*, οἷς ὁ K, ἐξ οὗ *Mai* **2** καθεξῆς] *scrips. Mai*, καθ᾽ ἑξ ἧς K Προφήτης] *scrips. Mai*, προφητῆς K$^{a. c.}$, προφήτης K$^{p. c.}$ **11** αὐτὸν] *scrips. Mai*, αὐτῶν K τὸν^{2}] *s. l.* K **12** Ἐνώς] *sic* K, Ἐνὼχ *scrips. Mai* **17** ἔνδεσιν] *scrips. Mai*, ἔνδησιν K **18** ἀπορρεύσαντα] *scrips. Mai*, ἀπορρεύσαντας K **30** εἰκός] *scrips. Mai*, εἰκὼς K **31** ἐξ ἑνὸς] *scrips. Mai*, ξένος K

σαι *πᾶν τὸ πρόσωπον τῆς γῆς*, καὶ καταδίκην τὸ πρᾶγμα καλεῖν, καὶ ταῦτα ἐν ἐπαγγελίαις τοῦ θεοῦ καὶ δωρεαῖς τοῦ τῆς πολυγονίας καὶ πολυτεκνίας κειμένου παρὰ τῇ θείᾳ Γραφῇ, ὡς δείξομεν σὺν θεῷ διὰ τῶν ἐν αὐτῇ σημαινομένων ἁγίων, ταύτην δωρεὰν καὶ φιλοτιμίαν τοῦ θεοῦ οὖσαν εἰδότων, καὶ εὐχῆς καὶ μακαρισμοῦ ἀξίαν κρινόντων τὴν τεκνογονίαν, κατάρας δὲ καὶ ὀνειδισμοῦ τὸ μὴ ἀξιωθῆναι τεκνογονίας.

Πρῶτον μὲν ὅτι *Ἀδὰμ ἐγέννησεν κατὰ τὴν ἰδέαν αὐτοῦ καὶ τὴν εἰκόνα αὐτοῦ*, καὶ οὐκ εἶπεν· Ἀπέρρευσεν κατὰ τὴν τοῦ Ἀδὰμ εἰκόνα, ἀλλ᾽ ὅτι *Ἀδὰμ ἐγέννησεν*· καὶ ἡ *μήτηρ πάντων* ἡμῶν Εὔα χαρᾶς καὶ εὐχαριστίας ῥήματα ἀπεφθέγξατο, εἰποῦσα· *Ἐκτησάμην ἄνθρωπον διὰ τοῦ θεοῦ*· ὁμοίως δὲ καὶ ἐπὶ τῇ γεννήσει τοῦ Σὴθ φησίν· *Ἐξανέστησέν μοι ὁ θεὸς σπέρμα ἕτερον ἀντὶ Ἄβελ, ὃν ἀπέκτεινεν Κάϊν*. Οὐκ ἂν δὲ ὁ Προφήτης κατέγραφεν ταῦτα οὕτως, εἴπερ καταδίκην καὶ πτῶσιν ἐγίνωσκεν εἶναι τὸ γενέσθαι τὸν ἄνθρωπον. Οὔτε δὲ πάλιν ὁ Ἐνώχ, ὁ καὶ τῆς τοῦ θανάτου πείρας δι᾽ ἄκραν ἀρετὴν ἔξω γενόμενος, ἤρχετο ἐπὶ τὸ τεκνῶσαι, εἴπερ ἐγίνωσκεν καταδίκην καὶ οὐκ εὐλογίαν παρὰ θεοῦ τὸ τῶν ἀνθρώπων ὑπάρχειν γένος. Εἰ δὲ Ἐνὼχ οὐκ ἐγίνωσκεν, καίτοι δι᾽ ἄκραν μετατεθεὶς ἀρετήν τε καὶ γνῶσιν, πῶς ὑμεῖς ὑπὲρ ἐκείνων ἐγνώκατε; Τί δὲ καὶ ὁ μέγας Ἀβραὰμ πρὸς τὸν θεὸν ἀπωδύρατο, φάσκων· *Δέσποτα, τί μοι δώσεις; Ἐγὼ δὲ ἀπολύομαι ἄτεκνος*; Καὶ μυρία ἕτερα ὅσα θεῖοι προφῆται μηνύουσιν, ὅτι δῶρον θεοῦ καὶ οὐ καταδίκη τὸ πληθύνεσθαι τῶν ἀνθρώπων τὸ γένος, κατάρα δὲ τὸ ἐλαττοῦσθαι, καθὼς ἐπὶ τῇ τοῦ Ἀβραὰμ ἤγουν τῆς Σάρρας ὕβρει γενομένῃ παρὰ τοῦ Ἀβιμέλεχ δηλοῦται τῷ κατ᾽ ὀργὴν τοῦ θεοῦ ἐπικλεισθῆναι πᾶσαν γονήν, ὥς φησιν ὅτι *Συγκλείων συνέκλεισεν κύριος πᾶσαν μήτραν ἐν τῷ οἴκῳ Ἀβιμέλεχ ἕνεκεν Σάρρας τῆς γυναικὸς Ἀβραάμ*, καὶ ἄλλα πολλά. Ὅτι δὲ οὐδὲν τούτων τῆς ἱστορίας ἀναιρεθῆναι καὶ ἄλλό τι νοηθῆναι παρὰ τὸ κείμενον δύναται, πρόδηλον ἅπασιν. Εἰ δὲ μή γε, οὔτε Μωϋσῆς ἀπόγονος τοῦ Ἀβραὰμ ἄνθρωπός τις γέγονεν, οὔτε λαὸς ἐξ Αἰγύπτου δι᾽ αὐτοῦ ἐξελήλυθεν.

8 – 9 Gen. 5, 3 **10** Ἀδὰμ ἐγέννησεν] Ibid. μήτηρ πάντων] Ibid. 3, 20 **11 – 12** Ibid. 4, 1 **13 – 14** Ibid. 4, 25 **16 – 17** τῆς – γενόμενος] cf. ibid. 5, 24 **19 – 20** μετατεθεὶς] cf. ibid. 5, 24 **21 – 22** Ibid. 15, 2 **27 – 29** Ibid. 20, 18

3 κειμένου] *sic* K, κείμενα *scrips. Mai* **8** ἰδέαν] *scripsi*, εἰδέαν K **11** Ἐκτησάμην] *correxi (LXX)*, ἐκτήσαμεν K **26** δηλοῦται τῷ] *scripsi*, δηλοῦται· τὸ K

II[1]69 / K cap. A 1, 69

Καὶ μεθ᾽ ἕτερα·

Ἐπανέλθωμεν δὲ ἐπὶ τὸ προκείμενον. Θαῦμα γὰρ πῶς οὐκ ἔστησαν τῆς τοσαύτης φορᾶς καταπίπτοντες μέχρι τοῦ νῦν· ἀλλὰ τῶν ἐθνῶν εὐθηνούντων, εὐθηνεῖ καὶ τὰ τῆς τῶν νοῶν καταπτώσεως εἰς ἀνθρώπους, ἀσθενούντων δὲ ἀσθενεῖ καὶ τὰ τῆς καταπτώσεως. Τί γάρ; Ἆρα καὶ νοῆσαι δυνατὸν ὅτι ἡ τῶν νοῶν ἀπόρρευσις πρὸς γάμους συνωθεῖ τοὺς ἀνθρώπους, ἢ ἡ τῶν ἀνθρώπων πρὸς τοὺς γάμους καταδρομὴ τὴν ἐκείνων ἐργάζεται ἔκπτωσιν, ἵνα χώραν λάβῃ τὸ ἐκ τοῦ γάμου ἀποτέλεσμα; Καὶ πότερον συνεισέρχονται τῇ ἀπορρεύσει τοῦ σπέρματος οἱ καταπεσόντες νόες, ἢ ὕστερον εἰς τὴν γυναικείαν γαστέρα εἰσκρίνονται; Καὶ ἐπὶ γῆς ἄρα διάγουσιν, παρατηροῦντες ποῦ γάμος γίνεται, ἵνα εἰσέλθωσιν ἐν τῇ μήτρᾳ, ἢ ἀπ᾽ οὐρανῶν πρὸς ὥραν χαλῶνται; Ὅτι μὲν ἐν μήτρᾳ ψυχοῦ<ν>ται, δῆλον γὰρ ἐκ τοῦ τίκτεσθαι, οὐδὲ ἧττον καὶ ἀπὸ τοῦ Νομοθέτου, λέγοντος ἄνθρωπον εἶναι τὸ *ἐξεικονισμένον* ἔμβρυον, καὶ θανάτου ἔνοχον εἶναι τὸν ἐκτρῶσαι τοῦτο παρασκευάσαντα. Καὶ εἰ μὲν ἐπὶ γῆς διάγουσιν αἱ ψυχαὶ πρὸ τοῦ σωματωθῆναι ἐν τῇ γυναικείᾳ μήτρᾳ, ποῦ οὖσαι ἆρα, καὶ τί ποιοῦσαι, καὶ πῶς οὖσαι; Καὶ πότερον ἀσώματοι ἔτι νόες ὑπάρχουσαι, παραγίνονται εἰς τὴν γῆν, ἢ ἕτερον πρῶτον λαβοῦσαι σῶμα; Καὶ εἰ μὲν ἀσώματοι, ἔτι νόες εἰσίν, μήπω σωματωθεῖσαι. Εἰ δὲ μήπω ἐσωματώθησαν, ἔτι νόες εἰσίν, γινώσκουσαι ὅτι ἀπ᾽ οὐρανοῦ κατέπεσον, καὶ ὅτι εἰς σῶμα ἔχουσιν ἐνδεθῆναι, καὶ δύνανται ἐράσασθαι ἢ ἐπιθυμῆσαι εἰς τὸ τοιόνδε γένος σωματωθῆναι ἢ τήνδε μήτραν ἐκλέξασθαι, ἐπεὶ οὐκ ἂν εἴησαν ἀσώματοι, εἰ μὴ ταῦτα γινώσκουσιν.

---

16 – 17 ἄνθρωπον – παρασκευάσαντα] cf. Ex. 21, 22–23

---

3 – 101, 25 **II[1]69** Antipater Bostrensis, *Contradictiones in Eusebium episcopum Caesareae pro Origenis defensione*, locus non repertus

---

2 – 101, 25 **II[1]69** K cap. A 1, 69 (46v[23]24–49r10); *deest in* V H[I] L[c]; PG 86, 2049, 36 – 2053, 30

---

2 – 101, 25 Καὶ – ἀποφηνάμενος] *secludenda putat Heimgartner, sed cf. Praef., p.* XXXIV, *n.* 37 **3** γὰρ πῶς] *scrips. Mai*, γάρ πως K **5** εὐθηνεῖ] *scrips. Mai*, εὐθήνει K **12** ἐπὶ γῆς] *correxi (cf. infra, p.* 100, 32*)*, εἰς γῆν K **13** ποῦ] *scripsi*, πῶς K, ποῖος *Mai* **14 – 15** ψυχοῦνται] *scrips. Mai*, ψυχοῦται K **19** ποιοῦσαι] *scripsi*, ποιῆσαι K[ut videtur], ποιήσασαι *Mai* **25** μήτραν] *scripsi*, μητέρα K

Εἰ δὲ ἐν σώματί τινι ὑπάρχουσιν, τῆς πρώτης ἀπορρεύσασαι καταστάσεως καὶ εἰς γῆν καταπεσοῦσαι, ἆρα μετὰ τοῦ πρώτου σώματος καὶ τοῦτο ἐπενδύονται, ἢ ἀποβαλοῦσαι ἐκεῖνο, εἰς τοῦτο ἔρχονται; Καὶ εἰ μὲν μετὰ τοῦ πρώτου σώματος ἔλαβον καὶ τοῦτο, δύο νῦν σώματα ἔχουσιν, καὶ μετὰ τοῦ σώματος ἐσωματώθησαν, καὶ οὕτως δὲ ἐγίνωσκον τί ποιήσονται, μέλλουσαι εἰσέρχεσθαι εἰς μήτραν – πρακτικὸν γὰρ φάσκουσιν εἶναι πᾶν σῶμα –, καὶ πάντως ἐδεδοίκεισαν τὸ πρᾶγμα, καὶ ηὔχοντο εἰς καλὸν καὶ εὐδαιμονοῦν γένος ἐλθεῖν, καὶ ἀκινδύνως καὶ ἀθλίπτως τεχθῆναι, ὥσπερ ἀμέλει καὶ νῦν, ἐνδεδεμέναι κατ᾽ αὐτοὺς τῷ παχεῖ τούτῳ σώματι, γινώσκουσιν ὅτι μέλλουσιν τεθνήξεσθαι, καὶ εὐχὰς ἀναπέμπουσιν τῷ θεῷ μετὰ ἀνέσεως καὶ ἐλέους γενέσθαι τὸν θάνατον. Καὶ γὰρ εἰ ἐν τῷ παχεῖ σώματι ἐντεθεῖσαι γινώσκουσι ταῦτα, πολὺ πλέον ἐγίνωσκον ὅτι ἔχουσι τοῦτο παθεῖν. Εἰ δὲ οὐκ ἐγίνωσκον, οὐκ ἄρα ἡ σὰρξ αἰτία τῆς ἀγνοίας διὰ τὸ καὶ πρὸ τοῦ εἰς αὐτὴν ἐλθεῖν ἀγνοῆσαι.

Εἰ δὲ τὸ πρῶτον ἀποβαλοῦσαι σῶμα, οὕτως ἦλθον, τοῦτο πρῶτον ζητῆσαι ἄξιον, ποίῳ καιρῷ ἀπέβαλον, πρὸ τῆς μήτρας ἢ ἐν τῇ μήτρᾳ, καὶ εἰ μετὰ πόνου τινὸς ἐκεῖνο ἀπέθεντο ἢ ἀπόνως, καὶ εἰ κατὰ θείαν ἀπόφασιν ἐκείνου χωρίζονται, ὥσπερ καὶ τούτων, καὶ εἰ ἐπιθυμεῖ ἡ ψυχὴ γίνεσθαι ἄνθρωπος, ὥσπερ ἐπιθυμεῖ καὶ τοῦ γάμου. Εἰ ἐξ ἀνάγκης γίνεται βδελυσσομένη, κάλλιον ἑαυτῆς τυγχάνει καὶ οὐκ ἀξία τῆς καταδίκης· εἰ δὲ ἐπιθυμοῦσα, οὐ καταδίκη, ἀλλὰ ἀπόλαυσις· οὐδὲν γάρ ἐστιν ἀπόλαυσις ἀλλ᾽ ἢ τὸ καθ᾽ ἡδονὴν ἑκάστῳ. Πῶς δὲ καὶ ἡ τοσαύτη φορὰ τῆς καταπτώσεως κόρον οὐκ ἔλαβεν, καὶ μάλιστα μετὰ τὴν τοῦ κυρίου ἐνανθρώπησιν, ἀλλ᾽ ὁμοίως αἱ ἀπορρεύσεις γίνονται, τῆς τῶν καταπιπτόντων μὴ ἱσταμένης φορᾶς, καὶ <εἰ> ἐν τοῖς μὲν πολυγαμοῦσιν ἔθνεσιν πλείους οἱ καταπίπτοντες, ἐν δὲ τοῖς πεφεισμένως πῶς τοῖς γάμοις προσομιλοῦσιν ὀλιγώτεροι, ὡς εἶναι ἐν τῇ πολυγαμίᾳ καὶ ὀλιγογαμίᾳ τὴν ἐπίτασιν καὶ ἄνεσιν τῶν καταπτώσεων;

Καὶ ταῦτα μέν, εἰ ἐπὶ γῆς διάγουσιν αἱ ψυχαὶ πρὸ τοῦ ἐν μήτρᾳ σωματωθῆναι. Εἰ δὲ ἐξ οὐρανοῦ χαλῶνται, ἐν ἑκάστῳ ἆρα τῶν

---

4 ἔλαβον] *scrips. Mai*, ἔλαβεν K$^{\text{in mg.}}$ **10** ἀμέλει] *scripsi*, αἱ μέλη K, τὰ μέλη *Mai* ἐνδεδεμέναι] *scripsi*, ἐνδεδημέναι K, ἐνδεδεμένα *Mai* **11** ἀναπέμπουσιν] *scrips. Mai*, *non liquet in* K **19** εἰ[1]] *scripsi*, ἢ K εἰ[2]] *scripsi*, ἢ K **20** τούτων] *an legendum* τούτου? **21** εἰ] *scripsi*, ἢ K **22** Εἰ] *scrips. Mai*, ἢ K **23** ἐπιθυμοῦσα] *scrips. Mai*, ἐπιθυμῶσα K **25** φορὰ] *scripsi*, φθορᾶ K **28** φορᾶς] *scripsi*, φθορᾶς K εἰ] *supplevi*, *om.* K

γαμούντων ἢ μοιχευόντων ἢ καὶ ἁπλῶς πορνευόντων ἐστὶν τὸ νόας καταγαγεῖν, εἰ μὴ σπερματική τις αἰτία κωλύσειεν. Ἀλλ᾽ ἡμεῖς χαίρειν τῇ τοιαύτῃ φράσαντες δόξῃ, ταῖς δὲ θείαις Γραφαῖς καὶ τῇ παραδόσει τοῦ κηρύγματος πειθαρχοῦντες, βοήσωμεν· Ὡς *ἐμεγαλύνθη τὰ ἔργα σου, κύριε· πάντα ἐν σοφίᾳ ἐποίησας*. Θεωροῦντες γὰρ διὰ πάσης γενεᾶς, διὰ τῆς μιᾶς ἐκείνης τοῦ θεοῦ ἀποφάσεως τῆς *Αὐξάνεσθε καὶ πληθύνεσθε*, τρέχουσαν τῇ διαδοχῇ τὴν φύσιν ἡμῶν εἰς ἐπίδοσιν, καὶ ὡς τοῦ θεοῦ ὁ νόμος ἐναπομείνας τῷ γένει ἀπαραποδίστως ἐνεργεῖται τῷ δρόμῳ, σκοποῦντες δὲ κἀκεῖνο, ὅτι ἐκ μικρᾶς αἵματος σταγόνος ἐν τῷ τῆς φύσεως ἐμπεσόντος ἐργαστηρίῳ τοσαύτη μελῶν τε καὶ σχημάτων ποικιλία καὶ συνθέσεως ἁρμονία καὶ διαφορὰ ὡραιότητος καὶ τάξις πρὸς ἀναλογίαν ἀρίστη ἐκτελεῖται, μετὰ πάσης ἐκπλήξεως κράξωμεν· *Οὐκ ἐκρύβη τὸ ὀστοῦν μου ἀπὸ σοῦ, ὃ ἐποίησας ἐν κρυφῇ*, πιστεύοντες, μᾶλλον δὲ εἰδότες, καὶ τὴν τῶν σωμάτων σύστασιν ἐκ τῆς τῶν σωμάτων ῥεύσεως ἀποτελουμένην καὶ τὴν τῶν ψυχῶν δημιουργίαν ἐκ τῆς πρώτης τοῦ θεοῦ ἀποφάσεως, τῆς τοῦ *Αὐξάνεσθε*, <***> νόμῳ φύσεως ψυχοῦσθαι τὴν σάρκα. Οὔτε γὰρ ἴσμεν ἄλλην φύσιν δεδημιουργημένην παρὰ τὴν πρώτην· *κατέπαυσεν γὰρ ὁ θεὸς ἐν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ, ὧν ἤρξατο ποιῆσαι*, οὔτε οὖν ἄλλην φύσιν παρὰ τὴν πρώτην δημιουργεῖ· ὥστε σὺν τῷ σπέρματι †καταβαλέσθαι† λέγομεν, ἀλλὰ μορφουμένου καὶ τελειουμένου τοῦ σώματος τῇ ἐξ ἀρχῆς τοῦ θεοῦ ἀποφάσει φυσικῇ ἀκολουθίᾳ ψυχοῦσθαι, ὡς οἶδεν ὁ ἀποφηνάμενος.

4 – 5 Ps. 103, 24[1] **7** Gen. 1, 28 **14** Ps. 138, 15[1] **17 – 18** Gen. 1, 28 **19 – 21** Ibid. 2, 3

1 ἢ[2]] *scripsi*, εἰ K **7** τῇ διαδοχῇ] *scripsi*, τῆς διαδοχῆς K **11** ἐμπεσόντος] *in mg.* K, ἐμπεσούσης *scrips. et post* ἐργαστηρίου *inser. Mai (signis in mg. et s. l. neglectis)* **12** ἁρμονία] *scrips. Mai*, ἁρμονίας K **16** σωμάτων] *an legendum* σπερμάτων? **17 – 18** *post* Αὐξάνεσθε *quaedam excidisse videntur* **22** †καταβαλέσθαι†] *cruces apposui, sic* K

II[1]70 / K cap. A 1, 70

Φίλωνος Ἑβραίου, ἐκ τοῦ περὶ τῆς κατὰ Μωσέα κοσμοποιΐας·

Κατὰ μὲν τὴν πρώτην ἑπταετίαν ἔκφυσις ὀδόντων ἐστίν, κατὰ δὲ τὴν δευτέραν καιρὸς τοῦ δύνασθαι προΐεσθαι σπέρμα γόνιμον, τρίτῃ δὲ γενείων αὔξησις, τετάρτῃ δὲ πρὸς ἰσχὺν ἐπίδοσις, πέμπτῃ δ᾽ αὖ γάμων ὥρα, ἕκτῃ δὲ συνέσεως ἀρχή, τῇ δὲ ἑβδόμῃ βελτίωσις ἀμφοῖν καὶ συναύξησις νοῦ καὶ λόγου, ὀγδόῃ δὲ ἡ ἐν ἑκατέρῳ τελείωσις, κατὰ δὲ τὴν ἐνάτην ἐπιείκεια καὶ πραότης, τῶν παθῶν ἐπὶ πλεῖον ἡμερωθέντων, κατὰ δὲ τὴν δεκάτην τοῦ βίου τὸ εὐκταῖον τέλος, ἔτι τῶν ὀργανικῶν μελῶν συνεστηκότων· φιλεῖ γὰρ τὸ μακρὸν γῆρας ἕκαστον ὑποσκελίζειν καὶ παραιρεῖσθαι.

3 – 11 II[1]70 PHILO IUDAEUS, *De opificio mundi*, 103 (ed. Cohn, p. 35, 25 – 36, 8)

2 – 11 II[1]70 K cap. A 1, 70 (49r[10–11]12–22); $V^{E}V^{O}$ cap. A 8, 32; V^{W} cap. A 8, 31; A^{I} cap. A 7, 20; L^{c} cap. A 40, 34; *deest in* $H^{I\,(lac.)}$; PG 95, 1108, 43–54

II[1]70 (a) K (b) Φίλωνος V A^{I} L^{c}

4 δευτέρα V^{O} δύνασθαι] *om.* $V^{E}V^{O}$ A^{I} L^{c} προΐεσθαι] προεῖναι K **5 – 11** τετάρτῃ – παραιρεῖσθαι] καὶ ζήτει τὰ λοιπὰ εἰς τὸν περῖ ἡλϊκϊῶν τῖτλον L^{c} **5** τετάρτην V^{O} **6** δ᾽] δὲ V^{W} δὲ[1]] *om.* V A^{I} ἀρχή] ἀρχὴν V^{O}, ἀκμή *ed.* **7** νοῦ] λόγου A^{I} λόγου] νοῦ A^{I} ἑκατέρῳ] ἑκατέρᾳ A^{I} **8 – 9** ἐπιείκεια – δεκάτην] *om.* K **8** ἐπιήκειαν V^{O} **9** δεκάτη V^{O} τοῦ βίου] *post* εὐκταῖον *transpos.* $V^{E}V^{O}$ A^{I}

<***> **Περὶ ἀδελφῶν.**

μδ′ Περὶ ἀδελφῶν.

νζ′ Περὶ ἀδελφῶν γνησίων.

II¹71 / K cap. A 1², 1

Ἐκ τοῦ Λευϊτικοῦ·

Οὐ μισήσεις τὸν ἀδελφόν σου ἐν τῇ διανοίᾳ σου.

II¹72 / K cap. A 1², 2

Δαυῒδ ἐν ψαλμῷ ρλβ′·

Ἰδοὺ δὴ τί καλὸν ἢ τί τερπνὸν
ἀλλ᾽ ἢ τὸ κατοικεῖν ἀδελφοὺς ἐπιτοαυτό;

---

6 II¹71 Lev. 19, 17 **9 – 10 II¹72** Ps. 132, 1[2–3]

---

1 Titlos (a) K (49r22) **2 Titlos (b)** V H$^{I\ txt}$ A^{I} L$^{c\ pin}$; *deest in* H$^{I\ pin\ (lac.)}$ L$^{c\ txt}$ *(fenestra)* **3 Titlos (c)** PML$^{b\ pin}$ T^{txt}; *deest in* L$^{b\ txt}$ T$^{pin\ (lac.)}$ **5 – 6 II¹71** K cap. A 1², 1 (49r[22]23); V cap. A 44, 1; H^{I} cap. A 42, 1; L^{c} cap. A 19, 1; PM cap. A 57, 1; T cap. A 79, 1; *deest in* L^{b}; PG 95, 1253, 4–5 **8 – 10 II¹72** K cap. A 1², 2 (49r[24]24–49v1); V cap. A 44, 2; H^{I} cap. A 42, 2; L^{c} cap. A 19, 2; PM cap. A 57, 2; T cap. A 79, 2; *deest in* L^{b}; PG 95, 1253, 6–7

---

1 Titlos (a) *sine numero in* K **2 Titlos (b)** μδ′] μα′ H$^{I\ txt}$ *(*μβ′ *exspectav.)*, μ′ *propt. mg. resect.* A$^{I\ txt}$, *propt. mg. resect. non liquet in* A$^{I\ pin}$ *(*μα′ *secund. ser.)*, ιθ′ L$^{c\ pin}$, *praem.* τίτλος V$^{W\ txt}$ ἀδελφῶν] *add.* γνησίων V$^{W\ txt}$, *add.* καὶ φιλαδελφίας ἐν ᾧ κεφάλαια L$^{c\ pin}$ **3 Titlos (c)** νζ′] τίτλος οθ′ T^{txt}

II¹71 (a) K PM T Ἐκ] *om.* P (b) Λευϊτικοῦ V^{E}V^{O} H^{I} λευϊτικον H^{I} (c) Δευτερονομίου V^{W} (d) *s. a.* L^{c} **II¹72** (a) K T Δαυῒδ] *om.* K (b) Ψαλμοῦ ρλβ′ PM (c) Ἐκ τοῦ ρλβ′ ψαλμοῦ L^{c} (d) Δαυῒδ V H^{I} *praem.* τοῦ V^{W}

---

6 μισήσης V$^{E\ p.\ c.}$, μησείσης P

II[1]73 / K cap. A 1[2], 3

Παροιμιῶν·

Ἀδελφοὶ ἐν ἀνάγκῃ χρήσιμοι ἔστωσαν.

II[1]74 / K cap. A 1[2], 4

Τῶν αὐτῶν·

Ἀδελφὸς ὑπὸ ἀδελφοῦ βοηθούμενος ὡς πόλις ὀχυρὰ καὶ ὑψηλή, ἰσχύει δὲ ὥσπερ τεθεμελιωμένον βασίλειον.

II[1]75 / K cap. A 1[2], 5

Τῶν αὐτῶν·

Πᾶς ὁ ἀδελφὸν πτωχὸν μισῶν
καὶ φιλίας μακράν ἐστιν.

---

10 – 11 exstat etiam ap. Ps.-Max. Conf., *Loci communes*, 6.7./7. (ed. Ihm, p. 108)

---

3 II[1]73 Prov. 17, 17[2] (Wahl, *Proverbien-Text*, p. 87–88) **6 – 7 II[1]74** Prov. 18, 19[1–2] (Wahl, *Proverbien-Text*, p. 92) **10 – 11 II[1]75** Prov. 19, 7[1–2] (Wahl, *Proverbien-Text*, p. 93–94)

---

2 – 3 II[1]73 K cap. A 1[2], 3 (49v[1]2); V cap. A 44, 3; H[I] cap. A 42, 3; L[c] cap. A 19, 3; PM cap. A 57, 3; T cap. A 79, 3; *deest in* L[b]; PG 95, 1253, 8 **5 – 7 II[1]74** K cap. A 1[2], 4 (49v[2]3–5); V cap. A 44, 4; H[I] cap. A 42, 4; L[c] cap. A 19, 4; PM cap. A 57, 4; T cap. A 79, 4; *deest in* L[b]; PG 95, 1253, 9–11 **9 – 11 II[1]75** K cap. A 1[2], 5 (49v[5]6); V cap. A 44, 5; H[I] cap. A 42, 5; L[c] cap. A 19, 5; PM cap. A 57, 5; T cap. A 79, 5; E cap. 154, 14; *deest in* L[b]; PG 95, 1253, 12–13

II[1]73 *praem.* τῶν M T **II[1]74** (a) K M T (b) *s. a.* V H[I] L[c] P **II[1]75** (a) K (b) *s. a.* V H[I] T L[c] (c) *s. d.* M (d) Σολομῶντος E (e) Ἐκ τοῦ Μάρκου διαδόχου P

---

3 ἀνάγκαις *(*α- PM; -αῖς M*)* V[E e corr.] PM T L[c] **6** ὑπὸ] ὑπ᾽ L[c] **7** ἰσχύϊ K **10** πτωχὸν] *s. l.* V[W] **11** καὶ] *om.* V[E]V[O] H[I] L[c]

II¹76 / K cap. A 1², 6

Τῶν αὐτῶν·

Κρεῖσσον φίλος ἐγγὺς ἢ ἀδελφὸς μακρὰν οἰκῶν.

II¹77 / K cap. A 1², 7

Σιράχ·

Ἀδελφοὶ καὶ βοήθεια ἐν καιρῷ θλίψεως.

II¹78 / K cap. A 1², 8

Τοῦ αὐτοῦ·

Μὴ ἀλλάξῃς ἀδελφὸν γνήσιον ἐν χρυσίῳ Σουφίρ.

---

3 II¹76 Prov. 27, 10^3 (Wahl, *Proverbien-Text*, p. 132) **6 II¹77** Sir. 40, 24^1 (Wahl, *Sirach-Text*, p. 158) **9 II¹78** Sir. 7, 18^{1-2} (Wahl, *Sirach-Text*, p. 65)

---

2 – 3 II¹76 K cap. A 1^2, 6 (49v[7]7); V cap. A 44, 6; H^I cap. A 42, 6; L^c cap. A 19, 6; PM cap. A 57, 6; T cap. A 79, 6; E cap. 154, 15; *deest in* L^b; PG 95, 1253, 14–15 **5 – 6 II¹77** K cap. A 1^2, 7 (49v[7]8); V cap. A 44, 7; H^I cap. A 42, 7; L^c cap. A 19, 7; *deest in* PML^b T; PG 95, 1253, 16 **8 – 9 II¹78** K cap. A 1^2, 8 (49v[8]9); V cap. A 44, 8; H^I cap. A 42, 8; L^c cap. A 19, 8; PM cap. A 57, 7; T cap. A 79, 7; *deest in* L^b; PG 95, 1253, 17–18

II¹76 (a) K T (b) *s. a.* V H^I L^c P E (c) *s. d.* M **II¹77** (a) K V^E (b) *s. a.* $V^W V^O$ H^I L^c **II¹78** (a) K (b) Σιράχ V^W H^I L^c (c) Τοῦ Σιράχ PM T σιραχ M (d) *s. a.* $V^E V^O$

---

3 οἰκῶν] *om.* K **6** βοηθείας V^O **9** σουφείρ *(*-ειρ M*)* L^c M, σουπφείρ, φθειρομένω *(sic)* V^W

*II² / T cap. A 2 **Τίτλος β′ Περὶ τοῦ αὐτεξουσίου, ὅτι τὸ αὐτεξούσιον δέδοται ἡμῖν παρὰ θεοῦ καὶ ἐν ἡμῖν ἐστιν σωθῆναι καὶ ἀπολέσθαι.**

θ′ Περὶ τοῦ αὐτεξουσίου, ὅτι τὸ αὐτεξούσιον δέδοται ἡμῖν παρὰ θεοῦ καὶ ἐν ἡμῖν ἐστιν σωθῆναι καὶ ἀπολέσθαι.

*II²62 / T cap. A 2, 2

II¹79 / K cap. A 2, 1

Ἀπὸ τοῦ Δευτερονομίου·

Διαμαρτύρομαι ὑμῖν σήμερον τόν τε οὐρανὸν καὶ τὴν γῆν· Τὴν ζωὴν καὶ τὸν θάνατον δέδωκα πρὸ προσώπου ὑμῶν, καὶ τὴν εὐλογίαν καὶ τὴν κατάραν.

II¹80 / K cap. A 2, 2

Ἀπὸ τοῦ Ἰώβ·

Αἱ χεῖρές σου ἐποίησάν με καὶ ἔπλασάν με,
δέρμα καὶ κρέας με ἐνέδυσας,
ὀστέοις δὲ καὶ νεύροις με ἐνεῖρας,
ζωὴν δὲ καὶ ἔλεος ἔθου παρ᾽ ἐμοί.

---

1 – 2 Περὶ – ἀπολέσθαι] cf. II¹ / K^{pin} Παραπομπὴ Π 2 **1 – 2** ὅτι – θεοῦ] cf. II¹ / K^{pin} Παραπομπὴ Ο 2

---

7 – 9 II¹79 Deut. 30, 19 (Wahl, *Deuteronomium-Text*, p. 149) **12 II¹80** Αἱ – με] Iob 10, 8¹ **13 – 15** δέρμα – ἐμοί] Ibid. 10, 11¹–12¹

---

1 – 2 Titlos (a) K (49v10–11) **3 – 4 Titlos (b)** V A^{I}; *deest in* H$^{I\,(lac.)}$ **6 – 9 II¹79** K cap. A 2, 1 (49v[11–12]13–16); V cap. A 9, 1; A^{I} cap. A 8, 1; *deest in* H$^{I\,(lac.)}$; PG 95, 1109, 24–27 **11 – 15 II¹80** K cap. A 2, 2 (49v[16]17–19); *deest in* V H$^{I\,(lac.)}$ A^{I}

---

1 – 2 Titlos (a) **1** Τίτλος β′] *om.* K^{pin} τοῦ] *scripsi secund. Vat. gr. 1456* f. 134v, *om.* K **2** παρὰ – ἀπολέσθαι] *om.* K^{pin} ἡμῖν ἐστιν] *scripsi secund. Vat. gr. 1456* f. 134v, ἡμῖν K^{txt} **3 – 4 Titlos (b)** **3** θ′] η′ A$^{I\,txt}$, *propt. mg. resect. non liquet in* A$^{I\,pin}$ *(*η′ *secund. ser.), praem.* τίτλος V$^{W\,txt}$ τοῦ] *om.* V$^{E\,pin}$ V^{W}V$^{O\,pin}$ τὸ αὐτεξούσιον] αὐτεξουσίου V$^{O\,pin}$, *om.* V$^{E\,txt}$ V$^{O\,txt}$ A^{I} **3 – 4** παρὰ] ἀπὸ V$^{E\,pin}$ V^{W}V$^{O\,pin}$

II¹79 (a) K A^{I} Ἀπὸ] ἐκ A^{I} (b) Δευτερονομίου V

---

7 τόν τε οὐρανὸν] τὸν οὐρανὸν V^{E}V$^{W\,p.\,c.}$ *(*τε *expunctum videtur)* V^{O} A^{I} **8** ἡμῶν V$^{O\,a.\,c.}$ **14** ἐνεῖρας] *correxi (LXX)*, ἔνειρας K

II¹81 / K cap. A 2, 3

Δαυῒδ ἐν ψαλμῷ λδ′·

Εἶπον τῇ ψυχῇ μου· Σωτηρία σου εἰμὶ ἐγώ.

II¹82 / K cap. A 2, 4

Τοῦ Ἐκκλησιαστοῦ·

Εἶδον πάντα
τὰ πεποιημένα ὑπὸ τὸν ἥλιον,
καὶ ἰδοὺ τὰ πάντα ματαιότης καὶ προαίρεσις πνεύματος.

II¹83 / K cap. A 2, 5

*II²71 / T cap. A 2, 11

Τοῦ Σιράχ·

Κύριος ἐξ ἀρχῆς ἐποίησεν ἄνθρωπον,
καὶ ἀφῆκεν αὐτὸν ἐν χειρὶ διαβουλίου αὐτοῦ.
Παρέθηκέν σοι πῦρ καὶ ὕδωρ,
οὗ ἐὰν θέλῃς, ἐκτενεῖς τὴν χεῖρά σου.
Ἔναντι ἀνθρώπων ἡ ζωὴ καὶ ὁ θάνατος,
καὶ ὃ ἐὰν εὐδοκήσῃ, δοθήσεται αὐτῷ.

---

3 **II¹81** Ps. 34, 3² **6 – 8** **II¹82** Eccle. 1, 14¹⁻³ (Wahl, *Kohelet-Text*, p. 148) **11 – 12** **II¹83** Κύριος – αὐτοῦ] Sir. 15, 14¹⁻² (Wahl, *Sirach-Text*, p. 87) **13 – 16** Παρέθηκέν – αὐτῷ] Ibid. 15, 16¹–17² (Wahl, p. 87–88)

---

2 – 3 **II¹81** K cap. A 2, 3 (49v[19–20]21); V cap. A 9, 2; A^{I} cap. A 8, 2; *deest in* H$^{I\,(lac.)}$; PG 95, 1109, 28 **5 – 8** **II¹82** K cap. A 2, 4 (49v[21]22–23); *deest in* V H$^{I\,(lac.)}$ A^{I} **10 – 16** **II¹83** K cap. A 2, 5 (49v[mg]24–50r4); V cap. A 9, 3; A^{I} cap. A 8, 3; *deest in* H$^{I\,(lac.)}$; PG 95, 1109, 29–33

II¹81 (a) K (b) Δαυῒδ V^{E}V^{O} A^{I} (c) *s. a.* V^{W} **II¹83** (a) K (b) Σιράχ V^{W} A^{I} (c) *s. a.* V^{E}V^{O}

---

3 Εἶπον] *sic acc.* K V A^{I} ψυχῆ σου K Σωτηρία σου] σωτηρία V$^{O\,a.\,c.\,man.\,rec.}$ **11** ἄνθρωπον] *praem.* τὸν K **14** οὗ] σὺ V^{W} ἐκτείνης K V^{W} **15** ἐναντία V^{E}V^{O} A^{I} **16** ὃ ἐὰν] ὡ ἐὰν A$^{I\,p.\,c.}$, ὡς ἂν V^{W} εὐδοκήσει V$^{O\,a.\,c.}$

II[1]84 / K cap. A 2, 6

Λουκᾶ, ἐν κεφαλαίῳ cβ′·

Ἰδοὺ ἡ βασιλεία τοῦ θεοῦ ἐντὸς ὑμῶν ἐστίν.

II[1]85 / K cap. A 2, 7

Σχόλιον·

Ἐν τούτῳ τῷ λόγῳ τὸ αὐτεξούσιον ἡμῶν ὁ κύριος ἐσήμανεν, καὶ ὅτι ἐν ἡμῖν ἐστὶν ποθῆσαι καὶ σπουδάσαι *κληρονομῆσαι τὴν ἡτοιμασμένην βασιλείαν* τοῖς ἀγαπῶσιν αὐτόν. Τοὺς γὰρ λέγοντας μὴ εἶναι βασιλείαν οὐρανῶν, μὴ δὲ περὶ αὐτῆς ταῦτα λελέχθαι, ὡς διαστρόφους τῶν Γραφῶν ἀποστρεφόμεθα. Διδάσκων γὰρ ἡμᾶς ὁ κύριος ὅτι ἐστὶν *βασιλεία* οὐρανῶν, ἧς τὴν αἵρεσιν <φησὶν> καὶ φυγὴν *ἐντὸς ἡμῶν εἶναι*, τουτέστιν ἐν τῷ αὐτεξουσίῳ τῆς προαιρέσεως ἡμῶν, ἐν ἑτέρῳ φησίν· *Ἀπὸ τῶν ἡμερῶν Ἰωάννου ἡ βασιλεία τῶν οὐρανῶν βιάζεται, καὶ βιασταὶ ἁρπάζουσιν αὐτήν*.

II[1]86 / K cap. A 2, 8

Ἐκ τῆς πρὸς Ῥωμαίους ἐπιστολῆς·

Οὐκ οἴδατε ὅτι ᾧ παριστάνετε ἑαυτοὺς δούλους εἰς ὑπακοήν,

7 – 8 Matth. 25, 34 **11 – 12** Luc. 17, 21 **13 – 14** Matth. 11, 12 **17 – 109, 2** exstat etiam ap. Ps.-Max. Conf., *Loci communes*, 5.2./2. (ed. Ihm, p. 92)

3 II[1]84 Luc. 17, 21 **6 – 14 II[1]85** *Scholion in Luc. 17, 21* **17 – 109, 2 II[1]86** Rom. 6, 16

2 – 3 II[1]84 K cap. A 2, 6 (50r[mg]5); V cap. A 9, 4; A[I] cap. A 8, 4; *deest in* H[I (lac.)]; PG 86, 2053, 35; PG 95, 1109, 34 **5 – 14 II[1]85** K cap. A 2, 7 (50r[6]6–17); *deest in* V H[I (lac.)] A[I]; PG 86, 2053, 36–47 **16 – 109, 2 II[1]86** K cap. A 2, 8 (50r[18]19–22); V cap. A 9, 5; A[I] cap. A 8, 5; *deest in* H[I (lac.)]; PG 86, 2053, 48–50; PG 95, 1109, 35–36

II[1]84 (a) K (b) Κατὰ Λουκᾶν V[E]V[O] A[I] (c) Εὐαγγελίου V[W] **II[1]86** (a) K (b) Πρὸς Ῥωμαίους V[E]V[O] A[I] ρωμ V[E] (c) Τοῦ Ἀποστόλου V[W]

3 ἡμῶν V[O a. c. man. rec.] **11** ἧς] *correx. Mai*, εἰς K φησὶν] *supplevi*, *om.* K

δοῦλοί ἐστε ᾧ ὑπακούετε, ἤτοι ἁμαρτίας εἰς θάνατον ἢ ὑπακοῆς εἰς δικαιοσύνην;

II[1]87 / K cap. A 2, 9

Σχόλιον·

Σημείωσαι ἀκριβῶς πῶς τὴν ἐπιλογὴν τοῦ ἀγαθοῦ καὶ τοῦ κακοῦ ἐν ἡμῖν εἶναι ὁ Ἀπόστολος ἡμᾶς ἐδίδαξεν.

II[1]88 / K cap. A 2, 10

***II[2]76 / T cap. A 2, 16**

Τοῦ ἁγίου Ἰγνατίου τοῦ θεοφόρου, ἐκ τῆς πρὸ<ς> Σμυρναίους ἐπιστολῆς·

Θέλουσιν ὑμῖν εὖ πράττειν θεὸς ἕτοιμος εἰς τὸ παρέχειν.

II[1]89 / K cap. A 2, 11

Τοῦ ἁγίου Μεθοδίου, ἐκ τοῦ περὶ ἀναστάσεως·

Αὐτεξούσιος ὢν καὶ αὐτοκράτωρ ὁ ἄνθρωπος, καὶ αὐτοδέσποτον βούλησιν καὶ αὐτοπροαίρετον πρὸς τὴν αἵρεσιν, ὡς ἔφην, τοῦ κα-

---

5 – 6 II[1]87 *Scholion in Rom. 6, 16* **10 II[1]88** IGNATIUS ANTIOCHENUS, *Epistula ad Smyrnaeos*, 11, 3 (ed. Fischer, p. 214, 1–2); Holl, n° 68 **13 – 110, 11 II[1]89** METHODIUS OLYMPIUS, *De resurrectione*, I, 38, 3–4 (ed. Bonwetsch, p. 280, 9 – 281, 7) = EPIPHANIUS CONSTANTIENSIS, *Panarion*, 64, 30, 3–6 (ed. Holl/Dummer, p. 448, 12 – 449, 4); Holl, n° 418

4 – 6 II[1]87 K cap. A 2, 9 (50r[22]22–24); *deest in* V H[I (lac.)] A[I]; PG 86, 2053, 51–53 **8 – 10 II[1]88** K cap. A 2, 10 (50r[25]50v1); V cap. A 9, 6; A[I] cap. A 8, 6; *deest in* H[I (lac.)]; PG 95, 1109, 37–38 **12 – 110, 11 II[1]89** K cap. A 2, 11 (50v[2]3–20); *deest in* V H[I (lac.)] A[I]; PG 86, 2053, 54 – 2056, 16

II[1]88 (a) K πρὸς Σμυρναίους] *scripsi*, πρὸσμυρναιους *cod.* (b) Τοῦ ἁγίου Ἰγνατίου V[E]V[O] A[I] Ἰγνατίου] *non liquet in* A[I] (c) Ἰγνατίου V[W]

1 δοῦλοι ἐστὲ V A[I] ᾧ] εἰ V[O a. c. man. rec.] **1 – 2** ἤτοι – δικαιοσύνην] *om.* V A[I] **10** ἡμῖν V[E]V[O] εὖ] *post* πράττειν *transpos.* A[I]

λοῦ λαβών, ἀκούσας *Ἀπὸ τοῦ ξύλου τοῦ γινώσκειν καλὸν καὶ πονηρόν, οὐ φάγεσθε ἀπ᾽ αὐτοῦ· ᾗ δ᾽ ἂν ἡμέρᾳ φάγητε ἀπ᾽ αὐτοῦ, θανάτῳ ἀποθανεῖσθε*, ἐνδοὺς εἰς τὸ φαγεῖν ἀπ᾽ αὐτοῦ τῷ διαβόλῳ, <δε>δελεασμένῃ σοφίᾳ ποικίλως πρὸς παρακοὴν πείθοντι, ἠθέτησεν τὴν ἐντολὴν τοῦ θεοῦ, καὶ *ἐγένετο* αὐτῷ *εἰς σκάνδαλον καὶ παγίδα* καὶ *σκῶλον*. Οὐ γὰρ ἐποίησεν κακὸν ὁ θεός, οὐδέ ἐστιν τοσύνολον ὅλως ἐκ παντὸς τοπαράπαν αἴτιος κακοῦ, ἀλλὰ πᾶν ὅπερ ἂν αὐτεξούσιον, οὕτως ὑπ᾽ αὐτοῦ γεγονός, ᾗ πρὸς τὸ φυλάξασθαι καὶ τηρῆσαι νόμον, ὃν αὐτὸς δικαίως διεστείλατο, μὴ τηρῆσαν, λέγεται κακόν. Βαρυτάτη δὲ βλάβη τὸ παρακοῦσαι θεοῦ, τοὺς ὅρους τῆς κατὰ τὸ αὐτεξούσιον ὑπερβάντα δικαιοσύνης.

II[1]90 / K cap. A 2, 12

Ἐκ τοῦ αὐτοῦ λόγου·

Ἐφ᾽ ἡμῖν γὰρ οὐ τὸ ἀφανίσαι τὴν ῥίζαν τελέως τῆς πονηρίας, ἀλλὰ τὸ μὴ πρὸς ἔκτασιν αὐτὴν ἐᾶσαι φῦναι καὶ καρποφορεῖν. Ἡ μὲν γὰρ καθόλου καὶ παντελικὴ τῆς ῥίζης αὐτῆς ἀναίρεσίς τε καὶ ἀπώλεια ὑπὸ θεοῦ κατὰ τὴν τοῦ σώματος, ὡς εἴρηται, διάλυσιν γίνεται, ἡ δὲ ἐκ μέρους πρὸς τὸ μὴ οἶσαι καρπὸν ἢ βλαστόν, ὑφ᾽ ἡμῶν. Καὶ διατοῦτο τὸν ἐκθρέψαντα πρὸς αὔξησιν αὐτὴν μᾶλλον καὶ μέγεθος, ἀλλὰ μὴ στειρώσαντα ὅσον τὸ ἐπ᾽ αὐτῷ καὶ συμπιλήσαντα, ἀνάγκη διδόναι δίκην, ὅτι δυνάμενος καὶ ἔχων πρὸς τοῦτο τὴν ἐξουσίαν, εἵλετο τὸ βλάπτον πρὸ τοῦ συμφέροντος μᾶλλον τιμῆσαι. Ὥστε μηδείς, †αὐτοαιτὴς† ὤν, ἀκολάστῳ γλώσσῃ μεμφέ-

1 – 3 Gen. 2, 17 **5** ἐγένετο – σκάνδαλον] Ps. 68, 23[1–2] **5 – 6** καὶ παγίδα] Iud. 11, 35 **6** σκῶλον] II Par. 28, 23

14 – 111, 2 II[1]90 Methodius Olympius, *De resurrectione*, I, 44, 4 – 45, 1 (ed. Bonwetsch, p. 293, 13 – 294, 8) = Epiphanius Constantiensis, *Panarion*, 64, 36, 4 – 37, 3 (ed. Holl/Dummer, p. 457, 13 – 458, 3); Holl, n° 422

13 – 111, 2 II[1]90 K cap. A 2, 12 (50v[20]21–51r11); *deest in* V H[I (lac.)] A[I]; PG 86, 2056, 17–32

4 δεδελεασμένῃ] *correxi (ed.)*, δελεασμένη K **8** γεγονός] *scripsi (ed.)*, γεγονὼς K ᾗ] *scripsi (ed.)*, ἢ K **14** Ἐφ᾽ ἡμῖν] *correxi (ed.)*, ἔφημεν K **15** ἔκτασιν] *correxi (ed.)*, ἔκστασιν K καρποφορεῖν] *scripsi (ed.)*, καρποφορᾶν K, -άν *Mai* **20 – 21** συμπιλήσαντα] *correxi (ed.)*, συν πηλήσαντα K **23** †αὐτοαιτὴς†] *cruces apposui, sic* K, αὐτὸς αἴτιος *ed.*

σθω τὴν θείαν φύσιν, ὡς οὐκ ἐν δίκῃ διανέμουσαν ἑκάστῳ κακίας ἢ ἀρετῆς τὰ ἀμοιβαῖα.

II[1]91 / K cap. A 2, 13

Τοῦ αὐτοῦ, ἐκ τοῦ περὶ αὐτεξουσίου λόγου·

Πρὸς μὲν τοῦ θεοῦ τοὺς ἀνθρώπους κακοὺς γεγονέναι, οὔτι μοι δοκεῖ λέγειν· αὐτεξούσιον δὲ τὸν πρῶτον ἄνθρωπον γεγονέναι λέγω, τουτέστιν ἐλεύθερον, ἀφ' οὗ καὶ οἱ διάδοχοι τοῦ γένους τὴν ὁμοίαν ἐλευθερίαν ἐκληρώσαντο. Φημὶ τοιγαροῦν ἐλεύθερον γεγονέναι τὸν ἄνθρωπον, δουλεύοντα δὲ αὐτὸν οὐ βούλομαι. Τοῦτο γὰρ αὐτῷ καὶ μέγιστον πρὸς τοῦ θεοῦ κεχαρίσθαι λέγω. Ὅτι μὲν γὰρ τὰ ἄλλα ἀνάγκῃ δουλεύει τῷ θείῳ προστάγματι <***>, οὐδ' ὁπότερον αὐτῶν δυνάμενον ἕτερόν τι παρ' ὃ καὶ εἰς ὃ γέγονεν ἐμποιεῖν. Διόπερ οὔτε ἐπαινοῦμεν ταῦτα οὕτω πειθόμενα τῷ δεσπότῃ, οὐδέ τις ἀπόκειται αὐτοῖς κρειττων ἐλπίς, ὅτι τὸ προσταχθὲν ἄκοντες ἐφύλαξαν.

Ἄνθρωπος δὲ τὴν ᾗ βούλεται πείθεσθαι προσέλαβεν [γὰρ] ἐξουσίαν, ἑαυτὸν δουλαγωγῶν, οὐκ ἀνάγκῃ τῆς φύσεως κρατούμενος, οὐδὲ τῆς δυνάμεως ἀφαιρούμενος· ὅπερ αὐτῷ <τῶν> κρειττόνων ἕνεκα κεχαρίσθαι φημί, ἵνα τί πλεῖον ὧν ἔχει προσλάβῃ, ὅπερ αὐτῷ παρὰ τοῦ κρείττονος ἐκ τῆς ὑπακοῆς προσγίνεται, καὶ ὡς ὀφειλὴν ἀπαιτεῖ παρὰ τοῦ πεποιηκότος. Οὐ γὰρ ἐπὶ βλάβῃ τὸν ἄνθρωπον γεγονέναι φημί, ἕνεκα δὲ τῶν κρειττόνων. Εἰ γὰρ ὡς ἕν τι γέγονεν τῶν στοιχείων, ἢ τῶν ὁμοίως ἀνάγκῃ δου-

5 – 112, 26 II[1]91 Πρὸς – ἔχων] METHODIUS OLYMPIUS, *De libero arbitrio*, XVI, 2–9 (ed. Bonwetsch, p. 186, 8 – 188, 23; ed. Vaillant, p. 795, 3 – 799, 11); Holl, n° 437, 1–46

4 – 113, 18 II[1]91 K cap. A 2, 13 (51r[12]13–52v19); *deest in* V H[I (lac.)] A[I]; PG 86, 2056, 33 – 2057, 52

8 ἐλεύθερον] *s. l.* K **11** *post* προστάγματι *quaedam excidisse videntur*, ἐάν τε γὰρ οὐρανὸν εἴπῃς, ἔστηκε φέρων τὸν δεσπότην, οὐ μετακινούμενος τοῦ ὡρισμένου τόπου· καὶ ἐάν τε περὶ ἡλίου τὸν λόγον ποιεῖσθαι θέλῃς, ἐκτελεῖ οὗτος τὴν ὡρισμένην κίνησιν, οὐ παραιτούμενος τὸν δρόμον, ἀλλ' ἀνάγκῃ τινὶ δουλεύων τῷ δεσπότῃ. Καὶ γῆν ὁμοίως πεπηγυῖαν ὁρᾷς καὶ φέρουσαν τὸ πρόσταγμα τοῦ κεκελευκότος. Ὁμοίως δὲ καὶ τὰ ἄλλα ἀνάγκῃ δουλεύει τῷ πεποιηκότι *ed.* **12** ὁπότερον αὐτῶν] *correxi (ed.)*, οὐ πότερον αὐτὸν K **16** τὴν] *correxi (ed.)*, τῶν K γὰρ] *seclusi (cf. ed.)* **18 – 19** τῶν κρειττόνων] *correxi (ed.)*, κρεῖττον. ὧν *(sic)* K

λευόντων θεῷ, οὐκέτι μισθὸν ἄξιον τῆς προαιρέσεως λαμβάνει, ἀλλ᾽ ὥσπερ ὄργανον ἂν ἦν τοῦ δημιουργοῦ, τὴν ἐφ᾽ οἷς οὐ καλῶς ἔπραξεν ἀλόγως μέμψιν ὑπομένων· τούτων γὰρ αἴτιος ἦν ὁ χρώμενος. Ἀλλ᾽ οὐδὲ τὸ κρεῖττον ἄνθρωπος ἠπίστατο, μὴ τὸν αἴτιον εἰδώς, ἀλλ᾽ ἐκεῖνο μόνον, εἰς ὃ πέφυκεν εἶναι.

Φημὶ τοιγαροῦν τὸν θεόν, οὕτω τὸν ἄνθρωπον τιμῆσαι προαιρούμενον καὶ τῶν κρειττόνων ἐπιστήμονα γίνεσθαι, τὴν ἐξουσίαν αὐτῷ τοῦ δύνασθαι ποιεῖν ἃ βούλεται, δεδωκέναι, καὶ τὴν ἐξουσίαν αὐτοῦ εἰς κρεῖττον <ἐπιστρέφειν> παραινεῖ<ν>, οὐκ ἀφαιρο<ύ>μενον πάλιν τὸ αὐτεξούσιον, ἀλλὰ τὸ κρεῖττον μηνῦσαι θέλοντα. Τὸ μὲν γὰρ δύνασθαι πάρεστιν αὐτῷ, κἂν τὴν ἐντολὴν λαμβάνῃ, τὴν δὲ τοῦ δύνασθαι προαίρεσιν εἰς τὸ κρεῖττον τρέπειν ὁ θεὸς παραινεῖ. Ὥσπερ γὰρ πατὴρ παιδὶ παραινεῖ, ἐξουσίαν ἔχοντι ἐκμανθάνειν τὰ μαθήματα, καὶ μᾶλλον ἔχεσθαι τῶν μαθημάτων, ὅτι κρεῖττον τοῦτο μηνύων, οὐ τὴν τοῦ δύνασθαι τοῦ παιδὸς ἐξουσίαν ἀφαιρεῖ, κἂν μὴ ἑκὼν μανθάνειν βούληται, οὕτω μοι καὶ τὸν θεὸν οὐ δοκεῖ, προτρέποντα τὸν ἄνθρωπον πείθεσθαι τοῖς πρ<οστ>άγμασιν, ἀφαιρεῖν αὐτοῦ τὴν ἐξουσίαν τῆς προαιρέσεως τῷ δύνασθαι καὶ μὴ ὑπακούειν τοῖς πρ<οστ>άγμασιν.

Καὶ γὰρ τὴν ἀρχὴν τὸ οὕτως παραινεῖν, ὅτι μὴ ἀφεῖλεν τὴν ἐξουσίαν, μηνύει· προστάττει δέ, ἵνα τῶν κρειττόνων ἄνθρωπος ἀπολαύειν δυνηθῇ· τοῦτο γὰρ ἔπεται τῷ πεισθῆναι τῷ τοῦ θεοῦ προστάγματι· ὥστε οὐχ᾽ ἵνα τὴν ἐξουσίαν, ἣν ἔδωκεν, ἀφέλῃ, προστάττειν βούλεται, ἀλλ᾽ ἵνα κρεῖττον δωρήσηται ὡς ἀξίῳ μειζόνων τυχεῖν, ἀνθ᾽ ὧν ὑπήκουσεν τῷ θεῷ, καὶ τὴν τοῦ μὴ ὑπακούειν ἐξουσίαν ἔχων. Αὐτεξούσιον δέ φημι τὸν ἄνθρωπον γεγονέναι, οὐχ᾽ ὡς προϋποκειμένου τινὸς ἤδη κακοῦ, οὗ τὴν ἐξουσίαν τοῦ

---

26 – 113, 18 Αὐτεξούσιον – δράκων] METHODIUS OLYMPIUS, *De libero arbitrio*, XVII, 1–4 sqq. (ed. Bonwetsch, p. 189, 9 – 190, 9; ed. Vaillant, p. 801, 3 – 803, 2); Holl, n° 437, 46–67

---

2 – 3 τὴν – ὑπομένων] *versio palaeo-slavica hic paulo longior est quam graeca (de quibus vide Vaillant in app. crit.)* **4** μὴ – αἴτιον] μηδὲν ἕτερον *ed.* **8** τοῦ] *scrips. Mai*, τὸ K βούλεται] *scrips. Mai*, βούλεσθαι K **9** ἐπιστρέφειν παραινεῖν] *coniec. Vaillant*, τρέπειν παραινεῖν *Bonwetsch*, παραινεῖ K **9 – 10** οὐκ ἀφαιρούμενον] *scrips. Mai*, οὐκαφερόμενον K **12** λαμβάνῃ] *scripsi (ed.)*, λαμβάνει K **18** προστάγμασιν] *correxi (ed.)*, πράγμασιν K **19** τῷ] *scrips. Vaillant*, τοῦ K προστάγμασιν] *correxi (ed.)*, πράγμασιν K **20** τὸ] *scripsi (ed.)*, τοῦ K **22** τῷ[1]] *scrips. Mai*, τὸ K **24 – 25** ἀξίῳ μειζόνων] *scrips. Mai*, ἀξιομειζόνων K **27** οὗ] *scrips. Mai*, οὐ K

ἐλέσθαι, εἰ βούλοιτο, ὁ ἄνθρωπος ἐλάμβανεν, ἀλλὰ τὴν τοῦ ὑπακούειν θεῷ καὶ μὴ ὑπακούειν αἰτίαν μόνην· τοῦτο γὰρ τὸ αὐτεξούσιον ἠβούλετο. Καὶ γενόμενος ὁ ἄνθρωπος ἐντολὴν λαμβάνει παρὰ τοῦ θεοῦ, καὶ ἐντεῦθεν ἤδη τὸ κακὸν ἄρχεται· οὐ γὰρ πείθεται τῷ θείῳ προστάγματι. Καὶ τοῦτο καὶ μόν<ον> ἦν τὸ κακόν, ἡ παρακοή, ἥτις τοῦ εἶναι ἤρξατο. Οὐδὲ ἀγένητον ταύτην τίς εἰπεῖν ἔχει, τοῦ ποιήσαντος αὐτὴν ὄντος γενητοῦ. Πάντως δὲ πόθεν τοῦτο τὸ παρακοῦσαι ζητήσεις. Ἀλλὰ κεῖται σαφῶς ἐν τῇ θείᾳ Γραφῇ· ὅθεν οὐδὲ τοιοῦτον τὸν ἄνθρωπον πρὸς τοῦ θεοῦ γεγονέναι φημί, κατὰ δὲ τὴν τινὸς διδασκαλίαν τοῦτο πεπονθέναι λέγω. Οὐδὲ γὰρ τοιαύτην <ἦν> φύσιν εἰληφὼς ὁ ἄνθρωπος· εἰ γὰρ οὕτως εἶχεν, οὐκ ἂν αὐτῷ κατὰ διδασκαλίαν τοῦτο προσεγίνετο, τῆς φύσεως αὐτῆς οὕτως ἐχούσης. Λέγει δέ τις θεία φωνὴ *μεμαθηκέναι* τὸν ἄνθρωπον *τὰ πονηρά*· διδάσκεσθαι οὖν φημὶ τὸ παρακούειν θεοῦ. Τοῦτο γὰρ καὶ μόνον ἐστὶν τὸ κακόν, ὃ παρὰ τὴν τοῦ θεοῦ προαίρεσιν γίνεται. Οὐ γὰρ οὖν καθ' ἑαυτὸ<ν> τὸ πονηρὸν ἄνθρωπος διδάσκεται· ὁ διδάσκων τοίνυν τὸ κακόν ἐστιν ὁ δράκων, καὶ τὰ ἑξῆς.

II[1]92 / K cap. A 2, 14

Τοῦ ἁγίου Εἰρηναίου, ἐκ τοῦ δ′ ἐλέγχου καὶ ἀνατροπῆς τῆς ψευδωνύμου γνώσεως·

Εἰ φύσει οἱ μὲν φαῦλοι, οἱ δὲ ἀγαθοὶ γεγόνασιν, οὔθ' οὗτοι, ἐπαινετοὶ ὄντες, ἀγαθοί – τοιοῦτοι γὰρ κατεσκευάσθησαν –, οὔτ' ἐκεῖνοι μεμπτοί, οὕτως γεγονότες. Ἀλλ' ἐπεὶ οἱ πάντες τῆς αὐτῆς εἰσὶν φύσεως, δυνάμενοί τε κατασχεῖν καὶ πρᾶξαι τὸ ἀγαθόν, καὶ δυνά-

13 – 14 Ier. 13, 23

22 – 114, 9 II[1]92 Εἰ – προφητῶν] IRENAEUS LUGDUNENSIS, *Adversus haereses*, IV, 37, 32–48 (Fr. gr. 21) (ed. Rousseau/Hemmerdinger/Doutreleau/Mercier, p. 922–926); Holl, n° 152, 1–15

20 – 114, 20 II[1]92 K cap. A 2, 14 (52v[19–21]22–53v4); *deest in* V H[I (lac.)] A[I]; PG 86, 2057, 53 – 2060, 10

5 μόνον ἦν] *correxi (ed.)*, μόνην K **6** Οὐδὲ] οὐδὲ τὸ K[a. c.], οὐδὲ γὰρ *ed.* τίς] *s. l.* K **11** τοιαύτην ἦν] *scrips. Vaillant*, τοιαύτην K, τοσαύτην *Mai* **16** οὖν] *correx. Vaillant*, ἂν K ἑαυτὸν] *scripsi (ed.)*, ἑαυτὸ K

μενοι πάλιν ἀποβαλεῖν αὐτὸ καὶ μὴ ποιῆσαι, δικαίως καὶ παρὰ ἀνθρώποις τοῖς εὐνομουμένοις καὶ πολὺ πρότερον παρὰ θεῷ· οἱ μὲν ἐπαινοῦνται καὶ ἀξίας τυγχάνουσιν μαρτυρίας τῆς τοῦ καλοῦ καθόλου ἐκλογῆς καὶ ἐπιμονῆς, οἱ δὲ καταιτιῶνται καὶ ἀξίως τυγχάνουσιν ζημίας τῆς τοῦ καλοῦ καὶ ἀγαθοῦ ἀποβολῆς. Καὶ διατοῦτο οἱ προφῆται παρήνουν τοῖς ἀνθρώποις δικαιοπραγεῖν καὶ τὸ ἀγαθὸν ἐξεργάζεσθαι, ὡς ἐφ' ἡμῖν ὄντος τοῦ τοιούτου, καὶ διὰ τὴν πολλὴν ἀμέλειαν εἰς λήθην ἐκπεπτωκότων καὶ γνώμης δεομένων ἀγαθῆς, ἣν ὁ ἀγαθὸς θεὸς παρεῖχεν γνώμην διὰ τῶν προφητῶν. Ταῦτα γὰρ πάντα τὸ αὐτεξούσιον ἐπιδείκνυσιν τοῦ ἀνθρώπου καὶ τὸ συμβουλευτικὸν τοῦ θεοῦ, ἀποτρέποντος μὲν τοῦ ἀπειθεῖν αὐτῷ, ἀλλὰ μὴ βιαζομένου. Καὶ γὰρ αὐτῷ τῷ Εὐαγγελίῳ εἰ μὴ βούλοιτό τις ἕπεσθαι, ἐξὸν μὲν αὐτῷ ἐστίν, ἀσύμφερον δέ· ἡ γὰρ παρακοὴ τοῦ θεοῦ καὶ ἀποβολὴ τοῦ ἀγαθοῦ ἔστιν μὲν ἐν τῷ ἀνθρώπῳ, βλάβην δὲ καὶ ζημίαν οὐ τὴν τυχοῦσαν φέρει. Καὶ διατοῦτο ὁ Παῦλός φησιν *Πάντα μοι ἔξεστιν, ἀλλ' οὐ πάντα συμφέρει*, τὸ ἐλεύθερον τοῦ ἀνθρώπου ἐξηγούμενος, δι' ὃ πάντα ἔξεστιν, μὴ καταναγκάζοντος αὐτὸν τοῦ θεοῦ. Καὶ τὸ συμφέρον δείκνυσιν, ἵνα μὴ εἰς ἐπικάλυμμα κακίας καταχρησώμεθα τῇ ἐλευθερίᾳ· ἀσύμφερον γὰρ τοῦτό γε.

*II[2]78 / T cap. A 2, 18

II[1]93 / K cap. A 2, 15

Τοῦ ἁγίου Βασιλείου, ἐκ τοῦ οὐκ αἴτιος τῶν κακῶν ὁ θεός·

Δεκτικὴ τοῦ κακοῦ γέγονεν ἡ ψυχὴ διὰ τὸ αὐτεξούσιον ὁρμὴν αὐτὴν ἔχειν, πρέπουσαν μάλιστα λογικῇ φύσει. Αὐθαίρετον γὰρ ζωὴν λαβοῦσα παρὰ τοῦ θεοῦ, νοεῖ μὲν τὸ ἀγαθόν, καὶ οἶδεν αὐ-

16 – 17 I Cor. 6, 12

10 – 20 Ταῦτα – γε] Irenaeus Lugdunensis, *Adversus haereses*, IV, 37, 65–77 (Fr. gr. 21) (ed. Rousseau/Hemmerdinger/Doutreleau/Mercier, p. 928–930); Holl, n° 152, 15–27 **23 – 115, 6 II[1]93** Basilius Caesariensis, *Quod deus non est auctor malorum*, 6 (PG 31, 344, 22–34)

22 – 115, 6 II[1]93 K cap. A 2, 15 (53v[5]6–17); *deest in* V H[I (lac.)] A[I]

3 – 4 καθόλου] *seclus. ed.* **12** αὐτῷ – Εὐαγγελίῳ] *correxi (ed.)*, αὐτὸ τὸ εὐαγγέλιον K **13** ἀσύμφερον] ἀσύμφορον *Mai* **20** ἀσύμφερον] *scripsi*, ἀσύμφερόν *(sic)* K, ἀσύμφορον *scrips. Mai*

τοῦ τὴν ἀπόλαυσιν, καὶ ἔχει ἐξουσίαν καὶ δύναμιν ἐπιμεῖναι τῇ τοῦ καλοῦ θεωρίᾳ, καὶ φυλάσσειν τὴν ἑαυτῆς κατὰ φύσιν ζωήν· ἔχει δὲ καὶ ἐξουσίαν ἀπονεῦσαί ποτε τοῦ καλοῦ. Τοῦτο δὲ συμβαίνει αὐτῇ, ὅταν κόρον λαβοῦσα τῆς μακαρίας τέρψεως, καὶ οἷον νυσταγμῷ τινὶ βαρυνθεῖσα καὶ ἀπορρυεῖσα τῶν ἄνωθεν, τῇ σαρκὶ διὰ τὰς αἰσχρὰς τῶν ἡδονῶν ἀπολαύσεις ἀναμιχθῇ.

II[1]94 / K cap. A 2, 16

Σχόλιον·

Τὸ μετὰ τὴν γέννησιν αὐτεξούσιον τοῦ ἀνθρώπου σημαίνει ὁ λόγος, οὐχὶ δὲ προϋπαρξιν ψυχῶν, ἀλλὰ τὸ κατ᾽ ἀρετὴν ὑψηλόν τε καὶ ἔνθεον.

II[1]95 / K cap. A 2, 17

*II[2]77 / T cap. A 2, 17

Ἐκ τοῦ αὐτοῦ·

Τὰ ἐν Ἅιδου κακὰ οὐ θεὸν ἔχει τὸν αἴτιον, ἀλλ᾽ ἡμᾶς αὐτούς. Ἀρχὴ γὰρ καὶ ῥίζα πάσης ἁμαρτίας τὸ ἐφ᾽ ἡμῖν καὶ τὸ αὐτεξούσιον. Οἷς γὰρ ἐξῆν ἀπεχομένους τοῦ κακοῦ μηδὲν δεινὸν ἔχειν, δι᾽ ἡδονῆς δὲ εἰς τὴν ἁμαρτίαν δελεασθέντες, τίνα ἂν εἴποιμεν εὐπρεπῆ λόγον, τὸ μὴ οὐχὶ αὐτοὺς αἰτίους τῶν ἀλγεινῶν γεγενῆσθαι;

---

14 – 18 exstat etiam ap. Ps.-Max. Conf., *Loci communes*, 48.6./55.6. (ed. Ihm, p. 802)

---

9 – 11 II[1]94 *Scholion in Bas. Caes., Quod deus non est auctor malorum, 6 (PG 31, 344, 22–24)* **14 – 18 II[1]95** BASILIUS CAESARIENSIS, *Quod deus non est auctor malorum*, 2 (PG 31, 332, 42 – 333, 3)

---

8 – 11 II[1]94 K cap. A 2, 16 (53v[17]17–20); *deest in* V H[I (lac.)] A[I]; PG 86, 2060, 12–14 **13 – 18 II[1]95** K cap. A 2, 17 (53v[20]21–54r3); V cap. A 9, 8; A[I] cap. A 8, 8; *deest in* H[I (lac.)]; PG 95, 1109, 47 – 1112, 2

II[1]95 (a) K A[I] Ἐκ] *om.* A[I] (b) *s. a.* V

---

14 οὐχὶ V[E]V[O] A[I] ἀλλὰ V[W] **15** τὸ[1]] τὰ V **15 – 18** Οἷς – γεγενῆσθαι] *om.* V A[I] **16** ἀπεχομένους] *sic* K *(*ἀπεχομένοις *II[2] et ed.)*

*II[2]79 / T cap. A 2, 19

II[1]96 / K cap. A 2, 18

Ἐκ τοῦ εἰς τὸν ξα′ ψαλμόν·

Ἔθηκα, φησίν, *πρὸ προσώπου σου τὴν ζωὴν καὶ τὸν θάνατον, τὸ ἀγαθὸν καὶ τὸ κακόν*, δύο ἀντικειμένας ἀλλήλαις φύσεις. Ἀντιστάθμησον ἐπὶ τοῦ σεαυτοῦ κριτηρίου· ζυγοστάτησον ἀκριβῶς τί σοι λυσιτελέστερον, τὴν πρόσκαιρον ἐλέσθαι ἡδονὴν καὶ δι᾽ αὐτῆς τὸν αἰώνιον λαβεῖν θάνατον, ἢ τὴν ἐν τῇ ἀσκήσει τῆς ἀρετῆς ἑλόμενον κακοπάθειαν, ταύτῃ προξένῳ χρήσασθαι τῆς αἰωνίου τρυφῆς.

II[1]97 / K cap. A 2, 19

Τοῦ θεολόγου ἁγίου Γρηγορίου, ἐκ τοῦ μεγάλου ἀπολογητικοῦ·

Τοῦτο ἦν ἄκρας ἀγαθότητος, ποιῆσαι τὸ ἀγαθὸν καὶ ἡμέτερον, οὐ φύσει μόνον κατασπειρόμενον, ἀλλὰ καὶ προαιρέσει γεωργούμενον καὶ τοῖς ἐπ᾽ ἄμφω τοῦ αὐτεξουσίου κινήμασιν.

---

3 – 4 Deut. 30, 15

---

3 – 9 II[1]96 Basilius Caesariensis, *Homilia in Psalmum LXI*, 4 (PG 29, 480, 3–11) **12 – 14 II[1]97** Gregorius Nazianzenus, *Apologetica (Orat. 2)*, 17, 10–13 (ed. Bernardi, p. 112)

---

2 – 9 II[1]96 K cap. A 2, 18 (54r[3]4–11); V cap. A 9, 7; A[I] cap. A 8, 7; *deest in* H[I (lac.)]; PG 95, 1109, 39–46 **11 – 14 II[1]97** K cap. A 2, 19 (54r[12]13–16); *deest in* V H[I (lac.)] A[I]

II[1]96 (a) K (b) Τοῦ ἁγίου Βασιλείου A[I] (c) Βασιλείου V

---

3 τέθηκα V, τέθεικα A[I] **4** ἀγαθὸν] ἀγαθόν τε K τὸ] τὸν K[man. rec. ut videtur] ἀλλήλαις] *om.* K **4 – 5** ἀντιστάθμισον K V[W] A[I p. c.] **5** ἑαυτοῦ K **6 – 7** αὐτὴν K **7** λαμβάνειν K τὴν] τὸν V[O a. c.] **8** ταύτην K

II[1]98 / K cap. A 2, 20

Τοῦ ἁγίου Γρηγορίου Νύσης, ἐκ τῆς εἰς τὸν ἄνθρωπον θεωρίας·

Ἡ ψυχὴ τὸ βασιλικόν τε καὶ ἐπηρμένον αὐτόθεν δείκνυσιν πόρρω τῆς ἰδιωτικῆς ταπεινότητος κεχωρισμένον, ἐκ τοῦ ἀδέσποτον αὐτὴν εἶναι καὶ αὐτεξούσιον, ἰδίοις θελήμασιν αὐτοκρατορικῶς διοικουμένην· τίνος γὰρ τοῦτο καὶ οὐχὶ βασιλέως ἐστίν; Καὶ ἔστιν πρὸς τούτοις τὸ τῆς δυναστευούσης φύσεως εἰκόνα γίνεσθαι, ὅπερ οὐδὲν ἕτερόν ἐστιν εὐθὺς ἢ βασιλίδα δημιουργηθῆναι τὴν φύσιν.

II[1]99 / K cap. A 2, 21

Ἐκ τῆς αὐτῆς·

Ἐπειδὴ πολὺς τῶν καθ' ἕκαστον <ἀγαθῶν> ὁ κατάλογος, οὐ μὲν οὖν ἐστὶν ἀριθμῷ τοῦτον διαλαβεῖν ῥαδίως. Διατοῦτο περιληπτικῇ τινι φωνῇ τὰ πάντα συλλαβὼν ὁ λόγος ἐσήμανεν ἐν τῷ εἰπεῖν *κατ' εἰκόνα θεοῦ* γεγενῆσθαι τὸν ἄνθρωπον. Ἴσον γάρ ἐστιν τοῦτο τῷ εἰπεῖν· Παντὸς ἀγαθοῦ τὴν ἀνθρωπείαν φύσιν μέτοχον ἐποίησεν. Εἰ γὰρ πλήρωμα μὲν ἀγαθῶν τὸ θεῖον, ἐκείνου δὲ τοῦτο εἰκών, ἄρ' ἐν τῷ πλήρη<ς> εἶναι παντὸς ἀγαθοῦ πρὸς τὸ ἀρχέτυπον

15 Gen. 1, 27

3 – 9 II[1]98 Gregorius Nyssenus, *Contemplatio hominis (De opificio hominis)*, 4 (ed. Forbesius, p. 126, 14–21) **12 – 118, 5 II[1]99** Gregorius Nyssenus, *Contemplatio hominis (De opificio hominis)*, 16, 10–11 (ed. Forbesius, p. 202, 16–29)

2 – 9 II[1]98 K cap. A 2, 20 (54r[17]18–54v1); V cap. A 9, 9; A[I] cap. A 8, 9; *deest in* H[I (lac.)]; PG 95, 1112, 3–7 **11 – 118, 5 II[1]99** K cap. A 2, 21 (54v[1]2–16); *deest in* V H[I (lac.)] A[I]

II[1]98 (a) K (b) Τοῦ Νύσης V A[I] Τοῦ] τῆς V[O], *om.* V[W] νυσης V[W], νύσσης V[E]

4 ἰδιοτικῆς K V[E]V[O], ἰδϊότητος A[I] **5** ἰδίοις] *add.* δὲ K **6** *post* γὰρ *hab.* ἄλλου *ed.* **6 – 9** Καὶ – φύσιν] *om.* V A[I] **6** ἔστιν] ἔτι *ed.* **7 – 8** ὅπερ] *deest in ed.* **8** ἢ] *correxi (ed.)*, ἡ K **12** τῶν] *correxi (ed.)*, τὸν K ἀγαθῶν] *supplevi (ed.)*, *om.* K κατάλογος] λόγος K[a. c. s. l.] μὲν] *correxi (ed.)*, μὴν K **16** τῷ] *correxi (ed.)*, τὸ K **17** ἀγαθῶν] *correxi (ed.)*, ἀγαθὸν K **18** ἄρ'] *scripsi (ed.)*, ἄρ' K πλήρης] *scripsi*, πλήρη K[a. c.], πλήρει K[p. c. ut videtur], πλῆρες *ed.*

ἡ εἰκὼν ἔχει τὴν ὁμοιότητα. Οὐκοῦν ἔστιν μὲν ἐν ἡμῖν παντὸς ἀγαθοῦ ἰδέα, πᾶσα δὲ ἀρετὴ καὶ σοφία, καὶ πᾶν ὅτιπέρ ἐστιν πρὸς τὸ κρεῖττον νοούμενον, ἓν δὲ τῶν πάντων, καὶ τὸ ἐλεύθερον ἀνάγκης εἶναι καὶ μὴ ὑπεζεῦχθαι τινὶ φυσικῇ δυναστείᾳ, ἀλλ᾽ αὐτεξούσιον πρὸς τὸ δοκοῦν ἔχειν τὴν γνώμην.

II[1]100 / K cap. A 2, 22

Ἐκ τῆς αὐτῆς·

Εἰ γάρ τις ἀνάγκη τῆς ἀνθρωπίνης ἐπεστάτει ζωῆς, διεψεύ<σ>θη ἂν ἡ *εἰκὼν* κατ᾽ ἐκεῖνο τὸ μέρος ἀλλοτριωθεῖσα τῷ ἀνομοίῳ πρὸς τὸ ἀρχέτυπον· τῆς γὰρ βασιλευούσης φύσεως ἡ ἀνάγκαις τισὶν ὑπεζευγμένη τε καὶ δουλεύουσα πῶς ἂν *εἰκὼν* ὀνομάζοιτο; Οὐκοῦν τὸ διὰ πάντων πρὸς τὸ θεῖον ὡμοιωμένον ἔδει πάντως ἔχειν ἐν τῇ φύσει τὸ αὐτοκρατὲς καὶ ἀδέσποτον, ὥστε ἄθλον ἀρετῆς εἶναι τὴν τῶν ἀγαθῶν μετουσίαν.

II[1]101 / K cap. A 2, 23

Τοῦ αὐτοῦ, ἐκ τοῦ εἰς τὸ *Ἐφ᾽ ὅσον ἐποιήσατε ἑνὶ τούτων, ἐμοὶ ἐποιήσατε·*

Ἀγαπήσωμεν τὴν εὐλογίαν καὶ φύγωμεν τὴν κατάραν. Ἐφ᾽ ἡμῖν

9 Gen. 1, 27 **11** Ibid.

8 – 14 II[1]100 Gregorius Nyssenus, re vera *Oratio catechetica magna* (ed. Mühlenberg, p. 19, 21 – 20, 5) **18 – 119, 2 II[1]101** Gregorius Nyssenus, *In illud:* Quatenus uni ex his fecistis mihi fecistis *(Matth. 25, 40) (De pauperibus amandis II)* (ed. van Heck, p. 113, 17–20)

7 – 14 II[1]100 K cap. A 2, 22 (54v[16]17–55r1); *deest in* V $H^{I\,(lac.)}$ A^{I} **16 – 119, 2 II[1]101** K cap. A 2, 23 (55r[1–2]3–5); $V^{E}V^{O}$ cap. A 9, 10; A^{I} cap. A 8, 10; *deest in* V^{W} $H^{I\,(lac.)}$; PG 95, 1112, 8–10

II[1]101 (a) K (b) Τοῦ αὐτοῦ V^{E} A^{I} (c) *s. a.* V^{O}

2 ἰδέα] *scripsi (ed.)*, εἴδεα $K^{ut\ videtur}$ ὅπέρ ἐστιν $K^{a.\,c.}$ **8** διεψεύσθη] *scripsi*, διεψεύθη K **10** ἀνάγκαις] *scripsi (ed.)*, ἐπανάγκες $K^{ut\ videtur}$ **13** ἄθλον] *sic acc.* K

γάρ ἐστιν ἐλέσθαι κατ᾽ ἐξουσίαν ἑκάτερον, πρὸς ὅτιπερ ἂν τῇ προθυμίᾳ ῥέψωμεν.

II[1]102 / K cap. A 2, 24

Τοῦ μακαρίου <Ἰωάννου>, ἐκ τῆς εἰς τὸν ἅγιον Παῦλον ὁμιλίας·

Οὐ πάντα ἡμῖν ἐξ εὐθείας ὁμιλεῖ ὁ θεός. Ἐπειδὴ γὰρ ἑκόντας εἶναι βούλεται καλούς, ἀλλ᾽ οὐκ ἀνάγκῃ καὶ βίᾳ, ἐδέησεν αὐτῷ καὶ μεθόδου, οὐ διὰ τὸ αὐτοῦ ἀδύνατον, ἄπαγε, ἀλλὰ διὰ τὸ ἀσθενὲς τὸ ἡμέτερον. Αὐτῷ γὰρ ἔξεστιν νεῦσαι μόνον, μᾶλλον δὲ <***> καὶ ποιῆσαι ἅπερ ἂν βούλεται· ἡμεῖς δὲ ἅπαξ ἑαυτῶν γενόμενοι κύριοι, οὐκ ἀνεχόμεθα πάντα ὑπακούειν αὐτῷ. Ἐὰν οὖν ἄκοντας ἑλκύσῃ, ὅπερ ἔδωκεν ἀφαιρήσεται, τὴν τῆς ἐξουσίας ἐλευθερίαν.

II[1]103 / K cap. A 2, 25

Τοῦ αὐτοῦ, εἰς τὸ *Οὐκ ἐν ἀνθρώπῳ αἱ ὁδοὶ αὐτοῦ*·

Εἰδότες ὅτι καὶ τὸ θέλειν καὶ τὸ τρέχειν ἐν ἡμῖν ἐστιν, καὶ διὰ τοῦ θέλειν καὶ τοῦ τρέχειν τὸν θεὸν ἐπισπασόμεθα πρὸς τὴν ἡμετέραν

5 – 11 II[1]102 Iohannes Chrysostomus, *De laudibus S. Pauli apostoli*, V, 8, 3–11 (ed. Piédagnel, p. 244) **14 – 120, 5 II[1]103** Iohannes Chrysostomus, *In illud:* Domine, non est in homine *(Ier. 10, 23)*, 5 (PG 56, 162, 39–47)

4 – 11 II[1]102 K cap. A 2, 24 (55r[6]7–15); $V^{E}V^{O}$ cap. A 9, 11; V^{W} cap. A 9, 10; A^{I} cap. A 8, 11; *deest in* $H^{I\,(lac.)}$; PG 86, 2060, 15–25; PG 95, 1112, 11–18 **13 – 120, 5 II[1]103** K cap. A 2, 25 (55r[16]17–55v2); $V^{E}V^{O}$ cap. A 9, 12; V^{W} cap. A 9, 11; A^{I} cap. A 8, 12; *deest in* $H^{I\,(lac.)}$; PG 86, 2060, 26–35; PG 95, 1112, 19–27

II[1]102 (a) K Ἰωάννου] *supplevi (cf. e. g.* II[1]212 / K cap. A 4, 27*)*, *om. cod.* (b) Τοῦ Χρυσοστόμου V A^{I} Τοῦ] *om.* V^{W} **II[1]103** (a) K (b) Τοῦ αὐτοῦ $V^{E}V^{O\,p.\,c.\,man.\,rec.}$ A^{I} (c) *s. a.* $V^{W}V^{O\,a.\,c.}$

1 ὅπερ $V^{E}V^{O}$ A^{I}, ὅτι *ed.* ἂν] ἐν V^{O} **5** εἶναι] *post* βούλεται *transpos.* V A^{I} **6 – 7** ἀλλ᾽ – μεθόδου] *om.* $V^{E}V^{O}$ A^{I} **6** ἑαυτῶν K καὶ²] *om.* K **6 – 7** μεθόδου] *correxi (ed.)*, μεθόδους K V^{W} **8** μᾶλλον δὲ] *om.* K *post* δὲ *quaedam excidisse videntur,* ἐθελῆσαι μόνον *ed.* καὶ] *om.* $V^{E}V^{O}$ A^{I} **9** ἂν] ἄν V^{O}, *om.* V^{W} βούλεται] βούληται $V^{E\,p.\,c.}$ **10** οὖν] δὲ V A^{I} **11** ἑλκύει *e corr.* V^{O} ἀφαιρεῖται K **14** ὅτι] *om.* K διὰ τοῦ] διατοῦτο V^{O} **15** ἐπισπασώμεθα K V^{W}, ἐπισπώμεθα *ed.*

βοήθειαν, ἐπισπασάμενοι δὲ αὐτόν, πρὸς τὸ τέλος ἥξομεν τῶν πραγμάτων, διαναστῶμεν οὖν, ἀδελφοί, καὶ πᾶσαν σπουδὴν ἐπιδειξώμεθα ἐν τῇ τῆς ψυχῆς σωτηρίᾳ τῆς ἡμετέρας, ἵνα μικρὸν ἐνταῦθα πονήσαντες χρόνον, κατὰ τὸν ἀγήρω καὶ ἀθάνατον αἰῶνα τῶν ἀθανάτων ἀπολαύσωμεν ἀγαθῶν.

II[1]104 / K cap. A 2, 26

Τοῦ ἁγίου Κυρίλλου Ἀλεξανδρείας, ἐκ τοῦ κατὰ Ἰουλιανοῦ ιδ′ λόγου·

Ἔνεστιν ἀνθρώπῳ παντὶ τὸ εὐδοκιμεῖν δύνασθαι καὶ διαβιῶναι λαμπρῶς.

II[1]105 / K cap. A 2, 27

Τοῦ αὐτοῦ, ἐκ τῶν αὐτῶν·

Αὐτόκλητός ἐστιν καὶ ἑκοντὶ ἰὼν πρὸς πᾶν ὁτιοῦν τῶν αὐτῷ δοκούντων ὁ ἄνθρωπος, δόξαν οὕτως εὖ ἔχειν τῷ πάντων δημιουργῷ, ἵνα καὶ <τοῖς> τὸ ἀγαθουργεῖν ἠρημένοις τὸ ἐπαινεῖσθαι δεῖν, καὶ τοῖς τὴν ἑτέραν ἰοῦσιν τρίβον τὸ κατεσκῶφθαι δικαίως πρὸς ἁπάντων ἀκολουθῇ.

9 – 10 II[1]104 Cyrillus Alexandrinus, *Contra Iulianum imperatorem*, XIV, locus non repertus (PG 76, 1060, 22–23) **13 – 17 II[1]105** Cyrillus Alexandrinus, *Contra Iulianum imperatorem*, XIV, locus non repertus (PG 76, 1060, 25–30)

7 – 10 II[1]104 K cap. A 2, 26 (55v[2–3]4–5); *deest in* V H[I (lac.)] A[I]; PG 86, 2060, 36–39 **12 – 17 II[1]105** K cap. A 2, 27 (55v[5]6–11); *deest in* V H[I (lac.)] A[I]; PG 86, 2060, 41–46

1 ἥξωμεν K V[W a. c.] **2** διαναστῶμεν] δυναστῶμεν V[O] οὖν] *om.* V[E p. ras.] **3** σωτηρίᾳ – ἡμετέρας] ἡμῶν σωτηρία K **4** πονήσαντες] πονέσαντες V[E]V[O], ποιήσαντες K V[W a. c.] ἀγήρωτον V[W] **9** Ἔνεστιν] *scrips. Mai*, ἔν ἐστιν K **15** τοῖς] *supplevi*, *om.* K ἠρημένοις] *scrips. Mai*, εἰρημένοις K **16** κατεσκῶφθαι] *scrips. Mai*, κατεσκόφθαι K **17** ἀκολουθῇ] *scrips. Mai*, ἀκολουθεῖ K

II[1]106 / K cap. A 2, 28

Ἐκ τοῦ ιε′ λόγου·

Ἰδίοις θελήμασιν διοικεῖται ὁ ἀνθρώπινος νοῦς, καὶ πρὸς πᾶν ὁτιοῦν τῶν πρακτέων ἐθελοντὶ ἴεται, δόξαν ἔχειν ὀρθῶς καὶ τοῦτο τῷ πάντων ἀριστοτέχνᾳ θεῷ, ὥστε κἂν εἴ τις γένοιτο τῶν καθ᾽ ἡμᾶς ἐν μεθέξει τοῦ ἁγίου πνεύματος, ἐνοικισθέντος αὐτῷ διὰ τοῦ ἁγίου βαπτίσματος, οὐ παρεῖται διατοῦτο τοῦ κατὰ γνώμην οἰκείαν καὶ ὡς ἂν αὐτῷ δοκῇ, διαβιοῦν, ἐλευθέραις δὲ ὥσπερ ἡνίαις πρός τε τὸ ἀγαθὸν διανένευκεν καὶ τὸ ἐναντίον.

II[1]107 / K cap. A 2, 29

Ἐκ τοῦ ιη′ βιβλίου τῶν αὐτῶν·

Ἕκαστος τῶν ἐπὶ τῆς γῆς τῶν ἑαυτοῦ θεληματων διέλαχεν τὰς ἡνίας, καὶ ἐθελοντὶς ἢ τὰν ἢ ἐπὶ τὰν ἴεται, τουτέστιν ἢ ἐπὶ ἀρετὴν ἢ πρός γε τὰ χείρω.

---

3 – 9 II[1]106 Cyrillus Alexandrinus, *Contra Iulianum imperatorem*, XV, locus non repertus (PG 76, 1060, 40–48; fr. 34, ed. Kinzig/Brüggemann, p. 784) **12 – 14 II[1]107** Cyrillus Alexandrinus, *Contra Iulianum imperatorem*, XVIII (fr. 62, ed. Kinzig/Brüggemann, p. 806)

---

2 – 9 II[1]106 K cap. A 2, 28 (55v[11]12–21); *deest in* V H[I (lac.)] A[I]; PG 86, 2060, 47 – 2061, 3 **11 – 14 II[1]107** K cap. A 2, 29 (55v[21]22–56r1); *deest in* V H[I (lac.)] A[I]; PG 86, 2061, 4–7

---

4 ἴεται] *scripsi*, ἴεται K **8** καὶ] *s. l.* K **13** ἐθελοντὶς] *scrips. Mai*, ἐθελοντὶς K ἢ[1] – τὰν[2]] *correx. Aubert*, ἢ τ᾽ ἂν ἢ ἐπί τ᾽ ἂν *(sic)* K

II[1]108 / K cap. A 2, 30

Τοῦ ἁγίου Ἰουστίνου τοῦ φιλοσόφου καὶ μάρτυρος, ἐκ τοῦ πρὸς Ἕλληνας παραινετικοῦ·

Πλάσας ὁ θεὸς κατ᾽ ἀρχὰς τὸν ἄνθρωπον, τῆς γνώμης αὐτοῦ τὰ τῆς φύσεως ἀπηώρησεν, ἐντολὴν μίαν ποιησάμενος, τὴν διάπειραν· φυλάξαντα μὲν γὰρ ταύτην, τῆς ἀθανάτου λήξεως πεποίηκεν ἔσεσθαι, παραβάντα δέ, τῆς ἐναντίας.

II[1]109 / K cap. A 2, 31

Τοῦ αὐτοῦ, ἐκ τοῦ πρὸς Ἀντώνιον αὐτοκράτορα·

Οὐχ ὥσπερ τἄλλα, οἷον δένδρα <καὶ> τετράποδα, μηδὲν δυνάμενα προαιρέσει πράττειν, ἐποίησεν ὁ θεὸς τὸν ἄνθρωπον· οὐδὲ γὰρ ἦν ἄξιος ἀμοιβῆς ἢ ἐπαίνου, οὐκ ἀφ᾽ ἑαυτοῦ ἑλόμενος τὸ ἀγαθόν, ἀλλὰ τοῦτο γενόμενος, οὐδ᾽ εἰ κακὸς ὑπῆρχεν, δικαίως κολάσεως ἐτύγχανεν, οὐκ ἀφ᾽ ἑαυτοῦ τοιοῦτος ὤν, ἀλλ᾽ οὐδὲ<ν> δυνάμενος εἶναι ἕτερον παρ᾽ ὃ <ἐ>γεγόνει.

---

4 – 7 exstat etiam ap. Leont. Byzant., *Contra Nestorianos et Eutychianos*, II, flor. 2; cf. Riedweg, p. 50, n. 170

---

4 – 7 **II[1]108** (Ps.-)Iustinus Martyr, *Cohortatio ad Graecos*, locus non repertus (Frg. V, ed. Otto, p. 256); Holl, n° 118 **10 – 15** **II[1]109** Iustinus Martyr, *Apologia pro Christianis ad Antoninum imperatorem*, I, 43,8 (25–30) (ed. Munier, p. 242); Holl, n° 99

---

2 – 7 **II[1]108** K cap. A 2, 30 (56r[1–2]3–7); $V^{E}V^{O}$ cap. A 9, 13; V^{W} cap. A 9, 12–13; A^{I} cap. A 8, 13; *deest in* $H^{I\,(lac.)}$; PG 95, 1112, 28–32 **9 – 15** **II[1]109** K cap. A 2, 31 (56r[8]9–15); *deest in* V $H^{I\,(lac.)}$ A^{I}

II[1]108 (a) K (b) Ἰουστίνου φιλοσόφου καὶ μάρτυρος $V^{E}V^{O}$ A^{I} ἰουστῖνου A^{I} φιλοσόφου] φίλωνος *(sic)* V^{O} (c) Ἰουστίνου / *s. a.* V^{W} *(cf. infra, app. crit. text.)* **II[1]109** Ἀντώνιον] *sic* K, Ἀντώνινον *legendum*

---

5 ἀπεώρησεν $V^{E\,a.\,c.}$ V^{O}, ἀπεώρισεν K V^{W} ἐντολῇ μιᾷ *Leontius Byzantinus* **5 – 6** διάπειραν] διᾶπείραν V^{W}, διαπείρας $K^{p.\,c.}$, διαπερὰς $K^{a.\,c.}$, διὰ πείρας *scrips. Holl, hic caesura in* V^{W} **10** τἄλλα] *scripsi*, τ᾽ ἀλλα K καὶ] *supplevi (ed.), om.* K **12** ἀφ᾽ ἑαυτοῦ] *correxi (ed.)*, ἐφ᾽ ἑαυτῶ K **13** οὐδ᾽ – ὑπῆρχεν] *correxi (ed.)*, εἰ δὴ κακῶς ὑπάρχει K **14** ἀφ᾽ ἑαυτοῦ] *correxi (ed.)*, ἐφ᾽ ἑαυτοῦ K οὐδὲν] *correxi (ed.)*, οὐδὲ K **15** ἐγεγόνει] *correxi (ed.)*, γεγόνει K

II¹110 / K cap. A 2, 32

Κλήμεντος, ἐκ τοῦ α′ Στρώμα<τος>·

Ὅσοι μὴ καθεωράκασιν τὸ τῆς ἀνθρωπίνης ψυχῆς αὐθαίρετον καὶ ἀδούλωτον πρὸς ἐκλογὴν βίου, δυσχεραίνοντες ἐπὶ τοῖς γινομέ-
5 νοις πρὸς τῆς ἀπαιδεύτου κακίας, οὐ νομίζουσιν εἶναι θεόν.

II¹111 / K cap. A 2, 33

Τοῦ αὐτοῦ, ἐκ τοῦ εἰς τὸ Πάσχα·

Ἀνάγκης εἶδος οἶμαι τῷ παραδόξῳ ἐκπλῆξαι καὶ βιάσασθαι θεῷ τὸν ἄνθρωπον, ὃν ἐξ ἑαυτοῦ σώζεσθαι βούλεται, μόνας τὰς ἀφορ-
10 μὰς παρὰ τῆς ἐντολῆς λαβόντα. Οὐ τοίνυν βίαιος ὁ θεός, οὐδὲ ἀψύχων δίκην ἀγαλμάτων πρὸς τῆς ἔξωθεν αἰτίας περιάγεσθαι θέμις τὴν αὐτοκίνητον ψυχήν.

II¹112 / K cap. A 2, 34

Τοῦ αὐτοῦ, ἐκ τοῦ Τίς ὁ σωζόμενος πλούσιος·

15 Ἐπὶ τῷ ἀνθρώπῳ μὲν ἡ αἵρεσις ὡς ἐλευθέρῳ, ἐπὶ θεῷ δὲ ἡ δόσις ὡς κυρίῳ. Δίδωσιν δὲ βουλομένοις καὶ ὑπερεσπουδακόσιν καὶ δεομέ-

---

3 – 5 II¹110 Clemens Alexandrinus, *Stromata*, re vera VII. Cap. III. 15, 2 (ed. Stählin/Früchtel/Treu, p. 11, 22–24); Holl, n° 263 **8 – 12 II¹111** Clemens Alexandrinus, *De Pascha*, locus non repertus, Fr. 29 (ed. Stählin/Früchtel/Treu, p. 217, 14–17); Holl, n° 307 **15 – 124, 3 II¹112** Clemens Alexandrinus, *Quis dives salvetur (Marc. 10, 25–26)*, 10, 1–2 (ed. Stählin/Früchtel/Treu, p. 165, 27 – 166, 3); Holl, n° 286

---

2 – 5 II¹110 K cap. A 2, 32 (56r[16]17–20); *deest in* V $H^{I\,(lac.)}$ A^{I} **7 – 12 II¹111** K cap. A 2, 33 (56r[21]22–56v3); *deest in* V $H^{I\,(lac.)}$ A^{I}; PG 86, 2061, 8–14 **14 – 124, 3 II¹112** K cap. A 2, 34 (56v[3–4]5–11); V cap. A 9, 14; A^{I} cap. A 8, 14; *deest in* $H^{I\,(lac.)}$; PG 95, 1112, 33–39

II¹110 α′] *sic* K στρωμα *cod.* **II¹112** (a) K (b) Κλήμεντος στρώματος $V^{E}V^{O}$ A^{I} (c) Κλήμεντος V^{W}

---

5 κακίας] ἀδικίας *ed.* **8** θεῷ] *sic* K, *seclus. ed.*, *forsan legendum* θεὸν **10** βίαιος] *correxi (ed.)*, βιαίως K **15** αἱ αἱρέσεις K θεῷ] *praem.* τῷ K δὲ] *om.* $V^{E\,a.\,c.}$ V^{O} A^{I}

νοις, ἵν' οὕτως ἴδιον αὐτῶν ἡ σωτηρία γένηται. Οὐ γὰρ ἀναγκάζει ὁ θεός – βία γὰρ ἐχθρὸν θεῷ –, ἀλλὰ *τοῖς ζητοῦσιν* πορίζει *καὶ τοῖς αἰτοῦσι* παρέχει *καὶ τοῖς κρούουσιν ἀνοίγει*.

II[1]113 / K cap. A 2, 35

Ἐκ τοῦ αὐτοῦ·

Βουλομέναις μὲν ὁ θεὸς ταῖς ψυχαῖς συνεπιπνεῖ· εἰ δὲ ἀποσταῖεν τῆς προθυμίας, καὶ τὸ δοθὲν ἐκ θεοῦ πνεῦμα συνεστάλη.

II[1]114 / K cap. A 2, 36

Τοῦ αὐτοῦ·

Τὸ μὲν ἄκοντας σώζειν ἐστὶν βιαζομένου, τὸ δὲ αἱρουμένους χαριζομένου.

---

2 – 3 τοῖς[1] – ἀνοίγει] Matth. 7, 7

---

6 – 7 **II[1]113** Clemens Alexandrinus, *Quis dives salvetur (Marc. 10, 25–26)*, 21, 2 (ed. Stählin/Früchtel/Treu, p. 173, 18–20); Holl, n° 289 **10 – 11** **II[1]114** Clemens Alexandrinus, *Quis dives salvetur (Marc. 10, 25–26)*, 21, 2 (ed. Stählin/Früchtel/Treu, p. 173, 20–21); Holl, n° 290

---

5 – 7 **II[1]113** K cap. A 2, 35 (56v[11]12–14); $V^{E}V^{O}$ cap. A 9, 15; A^{I} cap. A 8, 15; *deest in* V^{W} $H^{I\,(lac.)}$; PG 95, 1112, 40–42 **9 – 11** **II[1]114** K cap. A 2, 36 (56v[14]15–16); *deest in* V $H^{I\,(lac.)}$ A^{I}

II[1]113 (a) K (b) *s. a.* V A^{I}

---

1 ἵνα V A^{I} αὐτῶν] *correxi (ed.)*, αὐτοῦ K V A^{I} **2** ὁ] *om.* K ἐχθρὸν] αἰσχρὸν K ζητοῦσιν] *add.* αὐτὸν K **2 – 3** πορίζει – αἰτοῦσι] *om.* A^{I} **3** παρέχειν $V^{O\,a.\,c.}$ **6** ψυχαῖς] *praem.* ἡμετέραις K ἀποσταίεν $V^{E}V^{O}$, ἀπιστεῖεν K **7** προθυσυΐας A^{I} θεοῦ] *praem.* τοῦ V A^{I}

II[1]115 / K cap. A 2, 37

Εὐσεβίου, ἐκ <τοῦ ι′ τῆς> α′ εἰσαγωγῆς·

Ἡ φύσις αὕτη τῷ τῶν ἀνθρώπων κατέσπειρεν γένει τά τε τῆς ἀρετῆς καὶ τὰ τῆς κακίας σπέρματα γινώσκειν, θατέρου τε τούτων συνεχώρησεν μετέχειν τῷ λογισμῷ, αὐτοκράτορα καὶ κριτήν, ἡγεμόνα τε καὶ κύριον αὐτὸν ἑαυτοῦ καταστήσασα, ὡς οἷα δὴ ὑπὸ τῆς φύσεως τὰ τῆς ἀρετῆς καὶ τὰ τῆς κακίας προτερήματα ἔχων ἐν ἑαυτῷ, οὐκ ἂν δύναιτο, κἂν εἰς αὐτὸν τῆς κακίας βυθὸν καταπέσοι ποτέ, μὴ οὐχὶ σεμνύνειν τὴν ἀρετήν, καταπτήσσων τὸ συνειδός, εἰ προέλοιτο τὸ χεῖρον. Καὶ τούτων ἀπόδειξις καὶ ἔλεγχος ἐναργὴς τὸ μηδένα τολμᾶν τῆς ἑαυτοῦ κακίας γενέσθαι κατήγορον, ἀλλ᾽ ἐκ τῶν ἐναντίων ὅση δύναμις ἐπικρύπτειν καὶ σκέπειν, ἅπερ δὴ ἂν παρὰ τὸ καθῆκον λαθραίως ἐπιχειρῇ. Καὶ αὐτὴ δὲ ἡ ἑκάστου διάθεσις, μὴ ὁμοίως διακειμένου πρός τε τοὺς εὐεργετοῦντας καὶ πρὸς τοὺς βλάπτειν αὐτὸν ἐπιχειροῦντας, αὐτομαθὴς διδάσκαλος γίνεται ἑκάστῳ τῆς περὶ ἀγαθῶν καὶ κακῶν ἐπιστήμης, ὁ τῆς φύσεως νόμος ταῦτά τινας δρᾶν ἑτέροις ἀπαγορεύων, ἅπερ τίς αὐτὸς παρ᾽ ἑτέρων οὐκ ἂν ἕλοιτο παθεῖν.

3 – 18 II[1]115 Eusebius Caesariensis, *Generalis elementaria introductio*, I, 10, locus non repertus; Holl, n° 472

2 – 18 II[1]115 K cap. A 2, 37 (56v[16]17–57r13); *deest in* V H[I (lac.)] A[I]; PG 86, 2061, 15–34

II[1]115 τοῦ ι′ τῆς] *supplev. Holl, non liquent in* K

3 τῷ] *correxi*, τὸ K **9** καταπτήσσων] *correxi*, καταπταῖσον K *(et Holl)* **12** ὅση] *correxi*, ὡς ἡ K **17** ταῦτά τινας] *forsan legendum* ταῦτά τινα

II[1]116 / K cap. A 2, 38

Τοῦ μακαρίου Ἐλευθερίου Τυάνων, ἐκ τοῦ περὶ αὐτεξουσίου·

Ἐποίησεν ὁ θεὸς τὸν ἄνθρωπον ἐλεύθερον καὶ αὐτεξούσιον, ἵν' ὃ ἑαυτῷ †ἐποίησεν† δι' ἀμελείας καὶ παρακοῆς, τοῦτο αὐτῷ νῦν ὁ θεὸς δωρεῖται διὰ ἰδίας φιλανθρωπίας καὶ ἐλεημοσύνης, ὑπακούοντος αὐτῷ τοῦ ἀνθρώπου. Καθάπερ γὰρ παρακούσας ὁ ἄνθρωπος θάνατον ἑαυτῷ ἐπεσπάσατο, οὕτως ὑπακούων τῷ βουλήματι τοῦ θεοῦ δύναται περιποιήσασθαι ἑαυτῷ τὴν αἰώνιον ζωήν. Δέδωκεν γὰρ ἡμῖν ὁ θεὸς ἐντολὰς ἁγίας, ἃς πᾶς ὁ ποιῶν δύναται σωθῆναι καὶ ἀναστάσεως τυχὼν *κληρονομῆσαι τὴν ἀφθαρσίαν*.

<II[1]suppl. 141–144 / V cap. A 9, 17–20>

10 I Cor. 15, 50 **11** **II[1]suppl. 141–144** cf. *Sacra*. Liber II. *Supplementum* (Band VIII/8)

3 – 10 **II[1]116** Eutherius Tyanensis, *De libero arbitrio*, locus non repertus, re vera Theophilus Antiochenus, *Ad Autolycum*, II, 27 (ed. Grant, p. 70, 7–16); Holl, n° 134

2 – 10 **II[1]116** K cap. A 2, 38 (57r[13–14]15–24); $V^{E}V^{O}$ cap. A 9, 16; V^{W} cap. A 9, 15; A^{I} cap. A 8, 16; *deest in* $H^{I\,(lac.)}$; PG 86, 2061, 35–46; PG 95, 1112, 43 – 1113, 2

II[1]116 (a) *sic* K *(cf. supra*, II[1]62 / K cap. A 1, 62*)* (b) Ἐλευθερίου Τυάνων $V^{E}V^{O}$ A^{I} ἐλευθρ τϋανων V^{O}, <***>θερίου<***>άνων *propt. mg. resect. in* A^{I} (c) λευιτ *(sic)* V^{W}

3 ἵνα V A^{I} **4** †ἐποίησεν†] *cruces apposui*, *sic* K V A^{I}, περιεποιήσατο *ed.*, οὐ περιεποιήσατο *coniec. Heumann* αὐτῷ] αὐτὸ V^{W} **5** δωρῆται $V^{E\,p.\,c.}$ A^{I} διὰ] *om.* V^{O} **6** αὐτῷ] *correxi (ed.)*, αὐτοῦ K **7** αὐτῶ K, ἑαυτὸν V^{O} ἀπεσπάσατο V^{O} **9** ἡμῖν] ἡμᾶς A^{I} **10** κληρονομήσει $V^{E\,a.\,c.}$ V^{O} A^{I}, κληρονομήση $V^{E\,p.\,c.}$

II[1]117 / K cap. A 2, 39

Φίλωνος, ἐκ τοῦ δ′ τῆς νόμων ἱερῶν ἀλληγορίας·

Ἰδοὺ δέδωκα, φησίν, *πρὸ προσώπου σου* τὰ μαχόμενα, *τὴν ζωὴν καὶ τὸν θάνατον, τὸ ἀγαθὸν καὶ τὸ κακόν· ἔκλεξαι τὴν ζωήν, ἵνα ζήσῃ*. Μακάριον χρῆμα, προθέντος ἀμφότερα τοῦ δημιουργοῦ, τὸ ἄμεινον ἰσχῦσα<ι> λαβεῖν τὴν ψυχήν· μακαριώτερον δὲ τὸ μὴ αὐτὴν ἑλέσθαι, τὸν δὲ δημιουργὸν προσάγεσθαι καὶ βελτιῶσαι· οὐδὲ γὰρ κυρίως ἀνθρώπινος νοῦς αἱρεῖται δι᾽ ἑαυτοῦ τὸ ἀγαθόν, ἀλλὰ κατ᾽ ἐπιφροσύνην θεοῦ, δωρουμένου τοῖς ἀξίοις τὰ κάλλιστα. Δυοῖν γὰρ ὄντων κεφαλαίων παρὰ τῷ Νομοθέτῃ, τοῦ μέν, ὅτι οὐχ᾽ ὡς ἄνθρωπος ἡνιοχεῖ τὰ πάντα ὁ θεός, τοῦ δέ, ὅτι ὡς ἄνθρωπος παιδεύει καὶ σωφρονίζει, ὅταν μὲν τὸ δεύτερον κατασκευάζῃ, τὸ ὡς ἄνθρωπος, καὶ τὸ ἐφ᾽ ἡμῖν εἰσάγει, ὡς ἱκανοῖς καὶ γνῶναί τι καὶ βούλεσθαι καὶ ἑλέσθαι καὶ φυγεῖν· ὅταν δὲ τὸ πρῶτον καὶ ἄμεινον, ὅτι οὐχ᾽ ὡς ἄνθρωπος, τὰς πάντων δυνάμεις καὶ αἰτίας ἀνάπτει θεῷ, μηδὲν ὑπολειπόμενος ἔργον τῷ γενομένῳ, ἀλλὰ δείξας ἄπρακτον αὐτὸ καὶ πάσχον. Δηλοῖ δέ, ὅταν φῇ δι᾽ ἑτέρων ὅτι *Ἔγνω ὁ θεὸς τοὺς ὄντας αὐτοῦ, καὶ τοὺς ἁγίους αὐτοῦ προσηγάγετο*. Εἰ δὲ ἐκλογαί τε καὶ ἀπεκλογαὶ κυρίως ὑπὸ τοῦ ἑνὸς αἰτίου γίνονται, τί μοι παραινεῖς, ὦ Νομοθέτα, *τὴν ζωὴν καὶ τὸν θάνατον* αἱρεῖσθαι, ὡς τῆς αἱρέσεως αὐτοκράτορι; Ἀλλ᾽ εἴποι ἄν· Τῶν τοιούτων εἰσαγωγικώτερον ἄκουε· λέγεται γὰρ ταῦτα τοῖς μήπω τὰ μεγάλα μεμυημένοις μυστήρια, περί τε ἀρχῆς καὶ ἐξουσίας τοῦ ἀγενήτου καὶ περὶ ἄγαν οὐδενείας τοῦ γενητοῦ.

---

3 – 4 Ἰδοὺ – κακόν] Deut. 30, 15 **4 – 5** ἔκλεξαι – ζήσῃ] Ibid. 30, 19 **18 – 19** Num. 16, 5 **20 – 21** Deut. 30, 15

---

3 – 24 II[1]117 PHILO IUDAEUS, *Legum allegoriae*, IV (?), locus non repertus; Harris 8.1; Royse 176.39

---

2 – 24 II[1]117 K cap. A 2, 39 (57v[1]2–58r6); *deest in* V H[I (lac.)] A[I]; PG 86, 2061, 47 – 2064, 21

---

6 ἰσχῦσαι] *scripsi*, ἴσχυσα K, ἰσχύειν *scrips. Mai* **6 – 7** αὐτὴν] αὐτον K[p. c.] **13** εἰσάγει] *scripsi*, εἰσάγη K **15 – 16** ἀνάπτει] *scripsi*, ἀνάψη K **21** εἴποι] *forsan legendum* εἴποις **24** καὶ περὶ] καίπερ K[a. c. man. rec.]

Τίτλος γ′ Περὶ τῆς ἀστάτου καὶ ἀβεβαίου τῶν ἀνθρωπίνων πραγμάτων καταστάσεως, καὶ τίνι ἔοικεν ὁ ἄνθρωπος καὶ ὁ βίος αὐτοῦ, καὶ ὅτι μάταια τὰ παρόντα καὶ σκιᾶς ἀδρανέστερα.

ι′ Περὶ τῆς ἀστάτου καὶ ἀβεβαίου τῶν ἀνθρωπίνων πραγμάτων καταστάσεως, καὶ τίνι ἔοικεν ὁ ἄνθρωπος καὶ ὁ βίος αὐτοῦ, καὶ ὅτι μάταια τὰ παρόντα καὶ σκιᾶς ἀδρανέστερα.

μγ′ Περὶ τῆς ἀστάτου καὶ ἀβεβαίου τῶν ἀνθρωπίνων πραγμάτων καταστάσεως.

$II^1$118 / K cap. A 3, 1

Τοῦ Λευϊτικοῦ·

Προσήλυτοι καὶ πάροικοι ὑμεῖς ἐστὲ ἐναντίον μου.

---

1 – 3 Περὶ – ἀδρανέστερα] cf. II^1 / K^{pin} Παραπομπὴ T 1 **3** ὅτι – παρόντα] cf. II^1 / K^{pin} Παραπομπὴ O 3

---

11 $II^1$118 Lev. 25, 23

---

1 – 3 Titlos (a) K (58r6–9) **4 – 6 Titlos (b)** V A^I; *deest in* $H^{I\,(lac.)}$ **7 – 8 Titlos (c)** PML^b T^{txt} R; *deest in* $T^{pin\,(lac.)}$ **10 – 11 $II^1$118** K cap. A 3, 1 (58r[mg]10); V cap. A 10, 1; A^I cap. A 9, 1; PML^b cap. A 43, 1; T cap. A 65, 1; R cap. A 56, 2; *deest in* $H^{I\,(lac.)}$; PG 95, 1113, 42–43

---

1 – 3 Titlos (a) **1** Τίτλος γ′] *om.* K^{pin} **4 – 6 Titlos (b)** **4** ι′] θ′ $A^{I\,txt}$, *propt. mg. resect. non liquet in* $A^{I\,pin}$ *(*θ′ *secund. ser. et add. man. rec.), om.* $V^{O\,txt}$, *praem.* τίτλος $V^{W\,txt}$ τῆς] *om.* $V^{E\,txt}$ $V^{O\,txt}$ A^I ἀβεβαίου] βεβαίου $V^{E\,pin}$ ἀνθρωπίνων] ἀνθρώπων $V^{W\,txt\,a.\,c.}$ **5** ὁ[1]] *om.* $V^{E\,txt}$ $V^{O\,txt}$ A^I **7 – 8 Titlos (c)** **7** μγ′] λγ′ P^{txt} *(*μγ′ *exspectav.),* τίτλος ξε′ T^{txt}, τίτλος νς′ R^{txt}, νς′ R^{pin}, *om.* $L^{b\,txt}$ τῆς] *om.* T^{txt} ἀβεβαίου] ἀσεβοῦς *(*-ου $M^{pin\,a.\,c.}$*)* $M^{pin\,a.\,c.}$ R^{txt} τῶν] *om.* P^{txt} **7 – 8** πραγμάτων] *om.* M^{txt} R^{pin} **8** καταστάσεως] *add.* καὶ ὅτι ἐπίμοχθος καὶ ἐπώδυνος ἐστὶν *(*ἐστὶν *om.* R^{txt}*)* ὁ τῶν ἀνθρώπων βίος (*cf.* *II^2 / T cap. B 5 titlos) R

$II^1$118 Τοῦ] *om.* V A^I R λευϊτικου M, λευητ V^W

---

11 ὑμεῖς ἐστε P, ὑμεῖς εσται M T

II¹119 / K cap. A 3, 2

Παραλειπομένων β′·

Πάροικοί ἐσμεν ἐναντίον σου, καὶ κατοικοῦντες ὡς πάντες οἱ πατέρες ἡμῶν· ὡς σκιὰ αἱ ἡμέραι ἡμῶν ἐπὶ τῆς γῆς.

II¹120 / K cap. A 3, 3

Ἀπὸ τοῦ Ἰώβ·

Γυμνὸς ἐξῆλθον ἐκ κοιλίας μητρός μου,
γυμνὸς καὶ ἀπελεύσομαι ἐκεῖ.

II¹121 / K cap. A 3, 4

Τοῦ αὐτοῦ·

Ἄνθρωπος γεννᾶται κόπῳ.

---

3 – 4 II¹119 II Par., re vera I Par. 29, 15 (Wahl, *1 Chronik-Text*, p. 143) **7 – 8 II¹120** Iob 1, 21[1–2] **11 II¹121** Iob 5, 7[1]

---

2 – 4 II¹119 K cap. A 3, 2 (58r[11]11–13); V cap. A 10, 2; A^{I} cap. A 9, 2; PML^{b} cap. A 43, 2; T cap. A 65, 2; R cap. A 56, 3; *deest in* H$^{I\,(lac.)}$; PG 95, 1113, 44–46 **6 – 8 II¹120** K cap. A 3, 3 (58r[13]14–15); V cap. A 10, 3; A^{I} cap. A 9, 3; PML^{b} cap. A 43, 3; T cap. A 65, 3; *deest in* H$^{I\,(lac.)}$ R; PG 95, 1113, 47–48 **10 – 11 II¹121** K cap. A 3, 4 (58r[15]16); *deest in* V H$^{I\,(lac.)}$ A^{I} PML^{b} T R

II¹119 (a) K PM T R παραλεπομένων K, -λειπομενων M, -λειπόμενον T β′] α′ R (b) Παραλειπομένων V A^{I} παραλιπομένων V^{W}, *praem.* ἐκ τῶν A^{I} (c) Τοῦ αὐτοῦ L^{b} **II¹120** (a) K (b) Ἰώβ V A^{I} PML^{b} T ϊώβ PL^{b} T, ϊωβ M

---

4 ἡμῶν[1] – ἡμέραι] *om.* L^{b} ὡς σκιὰ] ὡσκϊα V^{O}, ὡσκιὰ M **8** ἀπελευσομαι M, -ελεύσωμε V^{E}V^{O}

II¹122 / K cap. A 3, 5

Τοῦ αὐτοῦ·

Ὁ βίος μου ἐστὶν ἐλαφρότερος λαλιᾶς.

II¹123 / K cap. A 3, 6

Τοῦ αὐτοῦ·

Σκιά ἐστιν ὁ βίος ἡμῶν ἐπὶ τῆς γῆς.

II¹124 / K cap. A 3, 7

Τοῦ αὐτοῦ·

Βροτὸς γεννητὸς γυναικὸς
ὀλιγόβιος καὶ πλήρης ὀργῆς·
ἢ ὥσπερ ἄνθος ἀνθῆσαν ἐξέπεσεν,
ἀπέδρα δὲ ὥσπερ σκιὰ καὶ οὐ μὴ στῇ.

3 II¹122 Iob 7, 6¹ **6 II¹123** Iob 8, 9² **9 – 12 II¹124** Iob 14, 1¹–2²

2 – 3 II¹122 K cap. A 3, 5 (58r[16]17); V cap. A 10, 4; A^{I} cap. A 9, 4; PM cap. A 43, 4; L^{b} cap. A 43, 5; T cap. A 65, 4; *deest in* H$^{I\,(lac.)}$ R; PG 95, 1113, 48–49 **5 – 6 II¹123** K cap. A 3, 6 (58r[17]18); V cap. A 10, 5; A^{I} cap. A 9, 5; PM cap. A 43, 5; L^{b} cap. A 43, 4; T cap. A 65, 5; *deest in* H$^{I\,(lac.)}$ R; PG 95, 1113, 50 **8 – 12 II¹124** K cap. A 3, 7 (58r[18]19–21); V cap. A 10, 6; A^{I} cap. A 9, 6; PML^{b} cap. A 43, 6; T cap. A 65, 6; *deest in* H$^{I\,(lac.)}$ R; PG 95, 1113, 51–53

II¹122 (a) K V^{W} PML^{b} T (b) *s. a.* V^{E}V^{O} A^{I} **II¹123** (a) K ML^{b} T (b) *s. a.* V A^{I} P **II¹124** (a) K PM T (b) *s. a.* V A^{I} L^{b}

6 σκιὰ ἐστὶν V^{W}, σκῖᾶς ἐστὶν V^{O} **9** βρωτὸς γεννητὸς V^{E}V$^{W\,a.\,c.}$ P, βρωτὸς γενητοῦ V^{O} γεννητὸς] *post* γυναικὸς *transpos.* M **11** ἢ] ἡ PM T, *om.* K ἀνθησας *(sic)* M **12** ἀπεδραμεν *(sic)* M στῇ] σὴ V^{E}, ὑποστη *(sic)* M

II[1]125 / K cap. A 3, 8

Τοῦ αὐτοῦ·

Ἄνθρωπος σαπρία,
καὶ υἱὸς ἀνθρώπου σκώληξ.

<II[1]suppl. 145 / PML[b] cap. A 43, 8L[b]>

II[1]126 / K cap. A 3, 9

Τοῦ αὐτοῦ·

Ἥγημαι ἐμαυτὸν γῆν καὶ σποδόν.

II[1]127 / K cap. A 3, 10

Δαυῒδ ἐν ψαλμῷ κα′·

Ἐγώ εἰμι σκώληξ καὶ οὐκ ἄνθρωπος,
ὄνειδος ἀνθρώπων καὶ ἐξουδένημα λαοῦ.

---

5 II[1]suppl. 145 cf. *Sacra*. Liber II. *Supplementum* (Band VIII/8)

---

3 – 4 II[1]125 Iob 25, 6^{1-2} **8 II[1]126** Iob 42, 6^{2} **11 – 12 II[1]127** Ps. 21, 7^{1-2}

---

2 – 4 II[1]125 K cap. A 3, 8 (58r[21]22); V cap. A 10, 7; A[I] cap. A 9, 7; PML[b] cap. A 43, 7; T cap. A 65, 7; *deest in* H[I (lac.)] R; PG 95, 1113, 54–55 **7 – 8 II[1]126** K cap. A 3, 9 (58r[22]23); V cap. A 10, 8; A[I] cap. A 9, 8; PM cap. A 43, 8; L[b] cap. A 43, 9; T cap. A 65, 8; R cap. A 56, 4; *deest in* H[I (lac.)]; PG 95, 1116, 1 **10 – 12 II[1]127** K cap. A 3, 10 (58r[23]58v1–2); V cap. A 10, 9; A[I] cap. A 9, 9; P cap. A 43, 9; L[b] cap. A 43, 10; T cap. A 65, 9; *deest in* H[I (lac.)] M R; PG 95, 1116, 2

II[1]125 (a) K V[W] (b) *s. a.* A[I] PML[b] (c) *s. d.* V[E]V[O] T **II[1]126** (a) K PM T (b) *s. a.* V L[b] (c) Ἰώβ R **II[1]127** (a) K T (b) Δαυῒδ V[E]V[W] (c) Ψαλμοῦ κα′ P (d) *s. a.* V[O] A[I] L[b]

---

4 ἀνθρώπου] αὐτοῦ L[b] **8** ἡγοῦμαι K **11** ἐγὼ δέ εἰμι K, ἐγὼ δὲ εἰμι T, ἐγὼ δὲ εἰμῖ L[b] **12** ὄνειδος – λαοῦ] *om.* V A[I] PL[b] T

II[1]128 / K cap. A 3, 11

Ἐν ψαλμῷ λη′·

Ἰδοὺ παλαιστὰς ἔθου τὰς ἡμέρας μου,
καὶ ἡ ὑπόστασίς μου ὡσεὶ οὐθὲν ἐνώπιόν σου·
πλὴν τὰ σύμπαντα ματαιότης, πᾶς ἄνθρωπος ζῶν.
Μέντοιγε ἐν εἰκόνι διαπορεύεται ἄνθρωπος,
πλὴν μάτην ταράσσεται·
θησαυρίζει καὶ οὐ γινώσκει τίνι συνάξει αὐτά.

<II[1]suppl. 146 / PML[b] cap. A 43, 10[M]>

II[1]129 / K cap. A 3, 12

Ἐκ τοῦ αὐτοῦ·

Πάροικος ἐγώ εἰμι παρὰ σοὶ
καὶ παρεπίδημος, καθὼς πάντες οἱ πατέρες μου.
Ἄνες μοι, ἵνα ἀναψύξω
πρὸ τοῦ με ἀπελθεῖν, καὶ οὐκέτι οὐ μὴ ὑπάρξω.

9 II[1]suppl. 146 cf. *Sacra*. Liber II. *Supplementum* (Band VIII/8)

3 – 8 II[1]128 Ps. 38, 6[1]–7[3] **12 – 15 II[1]129** Ps. 38, 13[4]–14[2]

2 – 8 II[1]128 K cap. A 3, 11 (58v[2]3–7); V cap. A 10, 10; A[I] cap. A 9, 10; P cap. A 43, 10; M cap. A 43, 9; L[b] cap. A 43, 11; T cap. A 65, 10; R cap. A 56, 5; *deest in* H[I (lac.)]; PG 95, 1116, 3 **11 – 15 II[1]129** K cap. A 3, 12 (58v[7]8–10); V[E]V[O] cap. A 10, 11; A[I] cap. A 9, 11; PM cap. A 43, 11; T cap. A 65, 11; R cap. A 56, 6; *deest in* V[W] H[I (lac.)] L[b]; PG 95, 1116, 3–4

II[1]128 (a) K (b) Ὁ αὐτός, ἐν ψαλμῷ λη′ T (c) Ψαλμοῦ λη′ PM R ψαλμὸς M (d) Τοῦ αὐτοῦ V[W] (e) *s. a.* V[E]V[O] A[I] L[b] **II[1]129** (a) K (b) Τοῦ αὐτοῦ P R (c) Ψαλμὸς λη′ M (d) *s. a.* V[E]V[O] A[I] T

3 τὰς] τῆς V[O] **4 – 8** καὶ – αὐτά] καὶ τὰ *(*τα P*)* λοιπά *(*-α P*)* PL[b], *om.* V[E]V[O] A[I] M R **5 – 8** πλὴν – αὐτά] *om.* V[W] T **12** σοὶ] *add.* ἐν τῇ γῇ R **13 – 15** καὶ – ὑπάρξω] καὶ τὰ λοιπα *(sic)* P, *om.* M **13 – 15** καθὼς – ὑπάρξω] *om.* V[E]V[O] A[I] **14 – 15** Ἄνες – ὑπάρξω] *om.* T R

II[1]130 / K cap. A 3, 13

Ἐν ψαλμῷ οζ′·

Ἐμνήσθη ὅτι σὰρξ εἰσίν,
πνεῦμα πορευόμενον καὶ οὐκ ἐπιστρέφον.

II[1]131 / K cap. A 3, 14

Ψαλμὸς πθ′·

Τὰ ἔτη ἡμῶν ὡσεὶ ἀράχνη ἐμελέτων.
Αἱ ἡμέραι τῶν ἐτῶν ἡμῶν, ἐν αὐτοῖς ἑβδομήκοντα ἔτη,
ἐὰν δὲ ἐν δυναστείαις, ὀγδοήκοντα ἔτη,
καὶ τὸ πλεῖον αὐτῶν κόπος καὶ πόνος.

<II[1]suppl. 147 / V cap. A 10, 14>

11 II[1]suppl. 147 cf. *Sacra*. Liber II. *Supplementum* (Band VIII/8)

3 – 4 II[1]130 Ps. 77, 39[1–2] **7 – 10 II[1]131** Ps. 89, 9[3]–10[3]

2 – 4 II[1]130 K cap. A 3, 13 (58v[mg]11–12); $V^{E}V^{O}$ cap. A 10, 12; V^{W} cap. A 10, 11; A^{I} cap. A 9, 12; PML^{b} cap. A 43, 12; T cap. A 65, 12; *deest in* $H^{I\,(lac.)}$ R; PG 95, 1116, 6–7 **6 – 10 II[1]131** K cap. A 3, 14 (58v[12]13–16); $V^{E}V^{O}$ cap. A 10, 13; A^{I} cap. A 9, 13; PML^{b} cap. A 43, 13; T cap. A 65, 13; *deest in* V^{W} $H^{I\,(lac.)}$ R; PG 95, 1116, 8

II[1]130 (a) K (b) Ψαλμοῦ οζ′ PM T Ψαλμοῦ] ψαλμος M, *om.* P (c) Τοῦ αὐτοῦ V^{W} (d) Δαυῒδ L^{b} (e) *s. a.* $V^{E}V^{O}$ A^{I} **II[1]131** (a) K PM T ψαλμοῦ T, ψαλμ P (b) Ἐκ τοῦ πθ′ ψαλμοῦ L^{b} (c) *s. a.* $V^{E}V^{O}$ A^{I}

3 ἐμνήσθην $V^{W\,p.\,c.}$ **4** ἐπιστρέφων $V^{W\,a.\,ras.}$ T **7** ἀράχνην T **8 – 10** Αἱ – πόνος] καὶ τὰ λοιπά L^{b}, *om.* $V^{E}V^{O}$ A^{I} PM T

II[1]132 / K cap. A 3, 15

Ἐν ψαλμῷ ρβ′·

Ἄνθρωπος ὡσεὶ χόρτος αἱ ἡμέραι αὐτοῦ,
ὡσεὶ ἄνθος τοῦ ἀγροῦ, οὕτως ἐξανθήσει,
ὅτι πνεῦμα διῆλθεν ἐν αὐτῷ, καὶ οὐχ᾽ ὑπάρξει,
καὶ οὐκ ἐπιγνώσεται ἔτι τὸν τόπον αὐτοῦ.

II[1]133 / K cap. A 3, 16

Ἐν ψαλμῷ ρμγ′·

Ἄνθρωπος ματαιότητι ὡμοιώθη,
αἱ ἡμέραι αὐτοῦ ὡσεὶ σκιὰ παράγουσιν.

II[1]134 / K cap. A 3, 17

Τοῦ Ἐκκλησιαστοῦ·

Ματαιότης ματαιοτήτων, τὰ πάντα ματαιότης.

---

3 – 6 II[1]132 Ps. 102, 15[1]–16[2] **9 – 10 II[1]133** Ps. 143, 4[1–2] **13 II[1]134** Eccle. 1, 2[2] (Wahl, *Kohelet-Text*, p. 147)

---

2 – 6 II[1]132 K cap. A 3, 15 (58v[16]17–20); $V^{E}V^{O}$ cap. A 10, 15; A^{I} cap. A 9, 15; PML^{b} cap. A 43, 15; T cap. A 65, 15; R cap. A 56, 7; *deest in* V^{W} $H^{I\,(lac.)}$; PG 95, 1116, 10 **8 – 10 II[1]133** K cap. A 3, 16 (58v[20]21–22); $V^{E}V^{O}$ cap. A 10, 16; A^{I} cap. A 9, 16; P cap. A 43, 16; T cap. A 65, 16; *deest in* V^{W} $H^{I\,(lac.)}$ ML^{b} R; PG 95, 1116, 11–12 **12 – 13 II[1]134** K cap. A 3, 17 (58v[22]23); $V^{E}V^{O}$ cap. A 10, 17; V^{W} cap. A 10, 13; A^{I} cap. A 9, 17; P cap. A 43, 17; ML^{b} cap. A 43, 16; T cap. A 65, 17; *quod attinet ad* R, *vide* *II[2]552 / T cap. B 5, 10; *deest in* $H^{I\,(lac.)}$; PG 95, 1116, 13

II[1]132 (a) K ρβ′] ρμγ′ $K^{a.\,c.}$ (b) Ψαλμοῦ ρβ′ PM T R ψαλμος M, ψαλμ R, ψαλ P (c) Ἐκ τοῦ ρβ′ ψαλμοῦ L^{b} (d) *s. a.* $V^{E}V^{O}$ A^{I} **II[1]133** (a) K (b) *s. a.* $V^{E}V^{O}$ A^{I} (c) *s. d.* P T **II[1]134** (a) K $V^{E}V^{W}$ PM T Τοῦ] *om.* $V^{E}V^{W}$ (b) Σαλομῶντος *(sic)* L^{b} (c) *s. a.* V^{O} A^{I}

---

4 – 6 ὡσεὶ – αὐτοῦ] *om.* $V^{E}V^{O}$ A^{I} PL^{b} T R **4** ἐξανθήσει] ἐξανθ *(sic)* M **5 – 6** ὅτι – αὐτοῦ] *om.* M **9 – 10** Ἄνθρωπος – αὐτοῦ] *om.* P T **10** ἡμέραι μου V^{O}

II¹135 / K cap. A 3, 18

Τοῦ αὐτοῦ·

Ἐπήνεσα ἐγὼ τοὺς τεθνηκότας,
τοὺς ἤδη ἀποθανόντας ὑπὲρ τοὺς ζῶντας·
καὶ ἀγαθὸς ὑπὲρ τοὺς δύο τούτους
ὅστις οὔπω ἐγένετο,
ὃς οὐκ εἶδεν σύμπαν τὸ ποίημα
τὸ πεποιημένον ὑπὸ τὸν ἥλιον.

II¹136 / K cap. A 3, 19

Τοῦ αὐτοῦ·

Πᾶς μόχθος τοῦ ἀνθρώπου εἰς τὸ στόμα αὐτοῦ.

---

3 – 4 II¹135 Ἐπήνεσα – ζῶντας] Eccle. 4, 2^{1-2} (Wahl, *Kohelet-Text*, p. 153) **5 – 8** καὶ – ἥλιον] Ibid. 4, 3^{1-4} (Wahl, p. 153) **11 II¹136** Eccle. 6, 7^{1} (Wahl, *Kohelet-Text*, p. 159)

---

2 – 8 II¹135 K cap. A 3, 18 (58v[24]59r1–4); $V^{E}V^{O}$ cap. A 10, 18; A^{I} cap. A 9, 18; P cap. A 43, 18; ML^{b} cap. A 43, 17; T cap. A 65, 18; *deest in* V^{W} $H^{I\,(lac.)}$ R; PG 95, 1116, 14–17 **10 – 11 II¹136** K cap. A 3, 19 (59r[4]5); $V^{E}V^{O}$ cap. A 10, 19; V^{W} cap. A 10, 14; A^{I} cap. A 9, 19; P cap. A 43, 19; ML^{b} cap. A 43, 18; T cap. A 65, 19; E cap. 152, 253; *deest in* $H^{I\,(lac.)}$ R; PG 95, 1116, 18

II¹135 (a) K ML^{b} T (b) *s. a.* $V^{E}V^{O}$ A^{I} P **II¹136** (a) K V^{W} L^{b} (b) *s. a.* $V^{E}V^{O}$ M T (c) *s. d.* A^{I} P (d) σο *(sic)* E

---

3 ἐπαίνεσα ἐγὼ K, ἐγω επηνεσα M, ἐπήνασα *(sic)* γὰρ V^{O} **4** ἤδη] ἴδι V^{O}, ϊδη P **5** τούτους] *om.* K **7** ἴδεν (ἶ- T, ι- M*)* K M T, οἶδεν V^{O} **11** τὸ] *om.* T

II[1]137 / K cap. A 3, 20

Τοῦ αὐτοῦ·

Τί περιέσσευσεν ἄνθρωπος παρὰ τὸ κτῆνος;
Οὐδέν, ὅτι πάντα ματαιότης.

II[1]138 / K cap. A 3, 21

Τοῦ αὐτοῦ·

Πᾶσαι αἱ ἡμέραι αὐτοῦ
ἀλγημάτων καὶ θυμοῦ περισπασμός·
καί γε ἐν νυκτὶ οὐ κοιμᾶται ἡ καρδία αὐτοῦ·
καί γε τοῦτο ματαιότης ἐστίν.

II[1]139 / K cap. A 3, 22

Τοῦ αὐτοῦ·

Καθὼς ἐξῆλθεν ἀπὸ γαστρὸς μητρὸς γυμνός,
ἐπιστρέψει τοῦ πορευθῆναι ὡς ἥκει,

---

3 – 4 II[1]137 Eccle. 3, 19[6–7] (Wahl, *Kohelet-Text*, p. 152) **7 – 10 II[1]138** Eccle. 2, 23[1–4] (Wahl, *Kohelet-Text*, p. 150) **13 – 137, 7 II[1]139** Eccle. 5, 14[1]–16[2] (Wahl, *Kohelet-Text*, p. 157–158)

---

2 – 4 II[1]137 K cap. A 3, 20 (59r[5]6–7); $V^{E}V^{O}$ cap. A 10, 20; A^{I} cap. A 9, 20; P cap. A 43, 20; ML^{b} cap. A 43, 19; T cap. A 65, 20; E cap. 152, 253; *deest in* V^{W} $H^{I\,(lac.)}$ R; PG 95, 1116, 19–20 **6 – 10 II[1]138** K cap. A 3, 21 (59r[7]8–10); $V^{E}V^{O}$ cap. A 10, 21; A^{I} cap. A 9, 21; P cap. A 43, 21; ML^{b} cap. A 43, 20; T cap. A 65, 21; *deest in* V^{W} $H^{I\,(lac.)}$ R; PG 95, 1116, 21–23 **12 – 137, 7 II[1]139** K cap. A 3, 22 (59r[10]11–18); $V^{E}V^{O}$ cap. A 10, 22; V^{W} cap. A 10, 15; A^{I} cap. A 9, 22; P cap. A 43, 22; ML^{b} cap. A 43, 21; T cap. A 65, 22; R cap. A 56, 9; *deest in* $H^{I\,(lac.)}$; PG 95, 1116, 24–28

II[1]137 (a) K L^{b} (b) *s. a.* $V^{E}V^{O}$ A^{I} M (c) *s. d.* P T E **II[1]138** (a) K L^{b} (b) *s. a.* $V^{E}V^{O}$ A^{I} PM T **II[1]139** (a) K V^{W} L^{b} R (b) *s. a.* $V^{E}V^{O}$ A^{I} PM T

---

3 περιέσευσεν $V^{E}V^{O}$, περΐσσευσεν $A^{I\,a.\,c.\,ut\,videtur}$, ἐπερίσσευσεν *(-ΐ- A^{I} L^{b})* K $A^{I\,p.\,c.\,ut\,videtur}$ L^{b} E *(= LXX)* ἀνθρώπῳ $V^{E}V^{O}$ A^{I} PL^{b} T E, τῷ ἀνθρώπῳ M παρὰ] ὑπερ *(sic)* M **7** αὐτῶν PM T **8** θυμος· περι σπασμος M **9** ἐν] *s. l.* V^{O} **10** ματαιότητός ἐστιν V, ματαιότητος ἐστῖ A^{I}, ματαιότης L^{b} **14** ἐπιστρέψει] *praem.* καὶ M ὡς ἥκει] ωσεῖ T ἥκει] εἴκη $V^{W\,a.\,c.}$, εἴκει $V^{W\,p.\,c.}$, εἰκῆ $V^{E}V^{O}$ A^{I} L^{b}, εἰκὴ P, εικη M

καὶ οὐδὲν λήψεται ἐν μόχθῳ αὐτοῦ,
ἵνα πορευθῇ ἐν τῇ χειρὶ αὐτοῦ.
Καί γε τοῦτο πονηρὰ ἀρρωστία·
ὥσπερ γὰρ παρεγένετο, οὕτως καὶ ἀπελεύσεται,
καὶ τίς περισσεία αὐτοῦ, οὐ μόχθος εἰς ἄνεμον;
Καί γε πᾶσαι αἱ ἡμέραι αὐτοῦ ἐν σκότει καὶ ἐν πένθει
καὶ ἐν θυμῷ πολλῷ καὶ ἀρρωστίᾳ καὶ χόλῳ.

II[1]140 / K cap. A 3, 23

Ζαχαρίου προφήτου·

Οἱ πατέρες ὑμῶν καὶ οἱ προφῆται ποῦ εἰσιν; Μὴ τὸν αἰῶνα ζήσονται;

II[1]141 / K cap. A 3, 24

Ἡσαΐου·

Πᾶσα σὰρξ χόρτος, καὶ πᾶσα δόξα ἀνθρώπου ὡς ἄνθος χόρτου·
ἐξηράνθη ὁ χόρτος καὶ τὸ ἄνθος ἐξέπεσεν.

---

10 – 11 II[1]140 Zach. 1, 5 (Wahl, *Prophetenzitate*, p. 250–251) **14 – 15 II[1]141** Is. 40, 6–7 (Wahl, *Prophetenzitate*, p. 382)

---

9 – 11 II[1]140 K cap. A 3, 23 (59r[18]19–20); $V^{E}V^{O}$ cap. A 10, 23; V^{W} cap. A 10, 16; A^{I} cap. A 9, 23; P cap. A 43, 23; ML^{b} cap. A 43, 22; T cap. A 65, 23; R cap. A 56, 14; *deest in* $H^{I\,(lac.)}$; PG 95, 1116, 29–30 **13 – 15 II[1]141** K cap. A 3, 24 (59r[20]21–22); $V^{E}V^{O}$ cap. A 10, 24; V^{W} cap. A 10, 17; A^{I} cap. A 9, 24; P cap. A 43, 24; ML^{b} cap. A 43, 23; T cap. A 65, 24; *deest in* $H^{I\,(lac.)}$ R; PG 95, 1116, 31–33

II[1]140 (a) K T (b) Ζαχαρίου V A^{I} PM ζαχαριου M (c) Ἡσαΐου L^{b} R **II[1]141** (a) K V A^{I} PM ἡσαϊου P, ησαϊου M (b) Ἡσαΐου προφήτου T (c) Τοῦ αὐτοῦ L^{b}

---

2 ἵνα] καὶ L^{b} **4** ἐπελεύσεται R **5 – 7** καὶ – χόλῳ] *om.* V A^{I} PML^{b} T R **5** περισσεία] *scripsi*, περίσσεια K οὐ] *sic* K, ᾗ *LXX* μόχθος] *scripsi*, μόχθον K, μοχθεῖ *LXX* **10** Οἱ] *praem.* ζαχαρΐου λέγοντος L^{b} ἡμῶν V^{O} M, *om.* R Μὴ] *add.* εἰς $K^{in\ mg.\ man.\ rec.}$ V^{E} R **10 – 11** ζήσονται] ἐζησαν *(sic)* M **14** σὰρξ] *om.* V^{O} πᾶσα] *om.* V^{O} ἀνθρώπου] χόρτου $A^{I\,a.\,c.\,man.\,rec.}$ **15** ἐξηράνθη – ἐξέπεσεν] *in mg.* V^{W} ἄνθος] *add.* αὐτοῦ $V^{E}V^{O}$ A^{I} M

II[1]142 / K cap. A 3, 25

Τοῦ αὐτοῦ·

Ἰδοὺ πάντες ὑμεῖς ὡς ἱμάτιον παλαιωθήσεσθε, καὶ ὁ σὴς καταφάγεται ὑμᾶς.

II[1]143 / K cap. A 3, 26

Τοῦ αὐτοῦ·

Μὴ φοβεῖσθε ὀνειδισμὸν ἀνθρώπων, καὶ τῷ φαυλισμῷ αὐτῶν μὴ ἡττᾶσθε· ὥσπερ γὰρ ἱμάτιον βρωθήσεται ἀπὸ χρόνου, καὶ ὡς ἐρέα βρωθήσεται ἀπὸ σητός.

---

3 – 4 II[1]142 Is. 50, 9 (Wahl, *Prophetenzitate*, p. 424) **7 – 9 II[1]143** Is. 51, 7–8 (Wahl, *Prophetenzitate*, p. 426–427)

---

2 – 4 II[1]142 K cap. A 3, 25 (59r[22]23–59v1); $V^{E}V^{O}$ cap. A 10, 25; V^{W} cap. A 10, 18; A^{I} cap. A 9, 25; P cap. A 43, 25; ML^{b} cap. A 43, 24; T cap. A 65, 25; R cap. A 56, 15; *deest in* $H^{I\,(lac.)}$; PG 95, 1116, 34–35 **6 – 9 II[1]143** K cap. A 3, 26 (59v[1]2–4); $V^{E}V^{O}$ cap. A 10, 26; V^{W} cap. A 10, 19; A^{I} cap. A 9, 26; P cap. A 43, 26; ML^{b} cap. A 43, 25; T cap. A 65, 26; *quod attinet ad* R, *vide* *II[2]564 / T cap. B 5, 22; *deest in* $H^{I\,(lac.)}$; PG 95, 1116, 36–38

II[1]142 (a) K V^{W} L^{b} R (b) *s. a.* $V^{E}V^{O}$ A^{I} PM (c) *s. d.* T **II[1]143** (a) K L^{b} (b) *s. a.* V A^{I} PM T

---

3 πάντες] πᾶν $V^{O\,a.\,c.}$ ἡμεῖς V^{O} παλαιωθησεσθαι M, παλαιωθήσονται V^{O} ὁ σὴς] ὁ σῆς K $V^{E\,a.\,c.}$ V^{O}, ὡς σὴς L^{b} *(= LXX)*, ὡς σῆς T V^{W}, ὡς σης P, ωσσης M **4** ἡμᾶς V^{O} L^{b} **7** φοβεῖσθαι M, φοβῆσθε K A^{I} αὐτῶ M **8** ἡττᾶσθαι K, ἠττασθαι *(*η- M V^{O}*)* PM V^{O} βρωθήσεται – ἐρέα] παλαιωθήσονται V^{O}, *om.* $V^{E}V^{W}$ A^{I} PML^{b} T **9** ἀπὸ] ὑπὸ $V^{W\,p.\,c.}$ *(= LXX)* σητός] *add.* καὶ τα εξῆς *(sic)* M

II[1]144 / K cap. A 3, 27

Σοφία Σολομῶντος·

Καπνὸς ἡ πνοὴ ἐν ῥισὶν ἡμῶν,
καὶ παρελεύσεται ὁ βίος ἡμῶν ὡς ἴχνη νεφέλης·
σκιᾶς γὰρ πάροδος ὁ βίος ἡμῶν.

II[1]145 / K cap. A 3, 28

Τῆς αὐτῆς·

Τί ὠφέλησεν ἡμᾶς ἡ ὑπερηφανία ἡμῶν;
Καὶ τί τὸ πλοῦτος μετὰ ἀλαζονείας συμβέβληται ἡμῖν;
Παρῆλθεν ἐκεῖνα πάντα ὡς σκιὰ
καὶ ὡς ἀγγελία παρατρέχουσα·
ὡς ναῦς διερχομένη κυμαινόμενον ὕδωρ,
ἧς διαβάσης οὐκ ἔστιν ἴχνος εὑρεῖν
οὐδὲ ἀτραπὸν πορείας αὐτῆς ἐν κύμασιν·
ἢ ὡς ὀρνέου διϊπτάντος ἀέρα
οὐθὲν εὑρίσκεται τεκμήριον πορείας,

---

3 – 5 exstat etiam ap. Ps.-Max. Conf., *Loci communes*, 60.3./67.3. (ed. Ihm, p. 908) **8 – 16** Τί – πορείας] exstat ibid., 60-./67.4. (p. 909)

---

3 II[1]144 Καπνὸς – ἡμῶν] Sap. 2, 2[3] **4** καὶ – νεφέλης] Ibid. 2, 4[3] **5** σκιᾶς – ἡμῶν] Ibid. 2, 5[1] **8 – 140, 5 II[1]145** Sap. 5, 8[1]–11[6] sqq.

---

2 – 5 II[1]144 K cap. A 3, 27 (59v[4]5–7); V[E]V[O] cap. A 10, 27; V[W] cap. A 10, 20; A[I] cap. A 9, 27; P cap. A 43, 27; ML[b] cap. A 43, 26; T cap. A 65, 27; R cap. A 56, 17; *deest in* H[I (lac.)] R; PG 95, 1116, 39–41 **7 – 140, 5 II[1]145** K cap. A 3, 28 (59v[7]8–18); V[E]V[O] cap. A 10, 28; V[W] cap. A 10, 21; A[I] cap. A 9, 28; P cap. A 43, 28; ML[b] cap. A 43, 27; T cap. A 65, 28; R cap. A 56, 18; *deest in* H[I (lac.)]; PG 95, 1116, 42–48

II[1]144 (a) K PM σολομόντος K, σολομωντος PM (b) Σοφίας Σολομῶντος L[b] T R (c) Σολομῶντος V A[I] **II[1]145** (a) K L[b] (b) *s. a.* V A[I] M (c) *s. d.* P T R

---

3 ἡ – ῥισὶν] ἐν ῥισὶν ἡ ζωὴ R ἡ] ἢ L[b] ῥησὶν V[E]V[W a. c.] T, ῥήσϊν V[O], ρησιν PM **4 – 5** ὡς – ἡμῶν] *iterav.* V[O] **4** ὡς] *om.* V[W a. c. in mg.] **5** παραδος *(sic)* M **9** τί τὸ] τῖς ὁ A[I] ἡμᾶς M **10** ὡς σκιὰ] ὡσκιὰ V[E a. c.] **12** κυμαινομένου ὕδατος R κυμαινόμενον] κυμενόμενον V[O], κοιμενόμενον P T **13** διὰβασης M, διάβασης V[E]V[W a. c.], διαβάσις P, διάβασις T, διάβασιν R **14** αὐτῆς] *om.* L[b] κύμασιν] *praem.* τοῖς L[b] **15** ὀρνεον *(sic)* M διϊπταντος PM, διαπτάντος *(δϊ- L[b])* V[E] A[I] L[b], διαπάντος V[O] **16** οὐθεν T, οὐδὲν K[a. c. ut videtur] V[E]V[O] A[I], ουδεν M τεμήρϊον V[O]

πληγῇ δὲ ταρσῶν μαστιζόμενον πνεῦμα κοῦφον
καὶ σχιζόμενον βίᾳ ῥοίζου
κινουμένων πτερύγων διωδεύθη,
καὶ μετὰ τοῦτο οὐχ᾽ εὑρέθη σημεῖον πτήσεως ἐν αὐτῷ,
καὶ τὰ ἑξῆς.

II¹146 / K cap. A 3, 29

Ἀπὸ τοῦ Σιράχ·

Πᾶσα σὰρξ ὡς ἱμάτιον παλαιοῦται.

II¹147 / K cap. A 3, 30

Τοῦ αὐτοῦ·

Ὡς φύλλον θάλλον ἐπὶ δένδρου δασέος,
τὰ μὲν καταβάλλει, ἄλλα δὲ φύει,
οὕτως γενεὰ σαρκὸς καὶ αἵματος.

---

8 II¹146 Sir. 14, 17[1] (Wahl, *Sirach-Text*, p. 86–87) **11 – 13 II¹147** Sir. 14, 18[1–3] (Wahl, *Sirach-Text*, p. 87)

---

7 – 8 II¹146 K cap. A 3, 29 (59v[18]19); V^{E}V^{O} cap. A 10, 29; V^{W} cap. A 10, 22; A^{I} cap. A 9, 29; P cap. A 43, 29; ML^{b} cap. A 43, 28; T cap. A 65, 29; *deest in* H$^{I\,(lac.)}$ R; PG 95, 1117, 1 **10 – 13 II¹147** K cap. A 3, 30 (59v[19]20–21); V^{E}V^{O} cap. A 10, 30; V^{W} cap. A 10, 23; A^{I} cap. A 9, 30; P cap. A 43, 30; ML^{b} cap. A 43, 29; T cap. A 65, 30; *quod attinet ad* R, *vide* *II²567 / T cap. B 5, 25; *deest in* H$^{I\,(lac.)}$; PG 95, 1117, 1–3

II¹146 (a) K (b) Σιράχ V A^{I} PML^{b} T *praem.* τοῦ T **II¹147** (a) K V^{W} PML^{b} T (b) *s. a.* V^{E} (c) *s. d.* V^{O} A^{I}

---

1 – 5 πληγῇ – ἑξῆς] *om.* V A^{I} PML^{b} T R **2** ῥοίζου] *scripsi*, ρυζοῦ *(sic)* K **4** πτήσεως] *scripsi*, πτέσεως K, ἐπιβάσεως *LXX* **11** Ὡς] ὥσπερ *(*ὡσ- PM*)* V$^{W\,e\,corr.}$ PML^{b} T φῦλον V^{O}, φῦλλον V$^{E\,a.\,c.}$ L^{b}, φυλλον M θᾶλλον V^{W}V^{O} T, θαλλον PM δασέως V^{E}V$^{W\,a.\,c.}$ P T, δάσεως V^{O}, δασεως M **13** γενεᾶ V^{O} P, γενεα M

II[1]148 / K cap. A 3, 31

Τοῦ αὐτοῦ·

Ἄνθρωποι πάντες γῆ καὶ σποδός.

II[1]149 / K cap. A 3, 32

Τοῦ αὐτοῦ·

Ἀρχὴ ζωῆς ἀνθρώποις ἄρτος καὶ ὕδωρ καὶ ἱμάτιον
καὶ οἶκος καλύπτων ἀσχημοσύνην.

II[1]150 / K cap. A 3, 33

Τοῦ αὐτοῦ·

Ἀριθμὸς ἡμερῶν ἀνθρώπου πολλὰ ἔτη ἑκατόν·
ὡς σταγὼν ὕδατος ἀπὸ θαλάσσης καὶ ψῆφος ἄμμου,
οὕτως ὀλίγα ἔτη ἐν ἡμέραις αἰῶνος.

---

3 II[1]148 Sir. 17, 32[2] (Wahl, *Sirach-Text*, p. 94) **6 – 7 II[1]149** Sir. 29, 21[1–2] (Wahl, *Sirach-Text*, p. 126) **10 II[1]150** Ἀριθμὸς – ἑκατόν] Sir. 18, 9[1] (Wahl, *Sirach-Text*, p. 95) **11 – 12** ὡς – αἰῶνος] Ibid. 18, 10[1–2] (Wahl, p. 95)

---

2 – 3 II[1]148 K cap. A 3, 31 (59v[mg]22); $V^{E}V^{O}$ cap. A 10, 31; V^{W} cap. A 10, 24; A^{I} cap. A 9, 31; P cap. A 43, 31; ML^{b} cap. A 43, 30; T cap. A 65, 31; *deest in* $H^{I\,(lac.)}$ R; PG 95, 1117, 4 **5 – 7 II[1]149** K cap. A 3, 32 (59v[22]23–60r1); *quod attinet ad* R, *vide* *II[2]565 / T cap. B 5, 23; *deest in* V $H^{I\,(lac.)}$ A^{I} PML^{b} T **9 – 12 II[1]150** K cap. A 3, 33 (60r[1]2–4); $V^{E}V^{O}$ cap. A 10, 33; V^{W} cap. A 10, 25; A^{I} cap. A 9, 32; P cap. A 43, 33; ML^{b} cap. A 43, 32; T cap. A 65, 33; *deest in* $H^{I\,(lac.)}$ R; PG 95, 1117, 6–8

II[1]148 (a) K V^{W} ML^{b} T (b) *s. a.* V^{E} P (c) *s. d.* V^{O} A^{I} **II[1]150** (a) K V^{W} ML^{b} T (b) Σιράχ $V^{E}V^{O}$ (c) *s. a.* A^{I} P

---

10 ἀνθρώπων T ἑκατόν] ρ′ V^{W} **11** ψῖφος V^{W}, ψίφος P, ψιφος T ἄμμου K $V^{E}V^{O}$, ἀμμοῦ M

II[1]151 / K cap. A 3, 34

Τοῦ αὐτοῦ·

Πᾶν ἔργον σηπόμενον ἐκλείψει,
καὶ ὁ ἐργαζόμενος αὐτὸ μετ᾽ αὐτοῦ ἀπελεύσεται.

<II[1]suppl. 148–149 / V cap. A 10, 32; 34>

II[1]152 / K cap. A 3, 35

Ἐκ τῆς Ἰακώβου ἐπιστολῆς·

Οἵα ἡ ζωὴ ἡμῶν ἐστίν· ἀτμὶς γάρ ἐστιν ἡ πρὸς ὀλίγον φαινομένη, ἔπειτα καὶ ἀφανιζομένη.

5 II[1]suppl. 148–149 cf. *Sacra*. Liber II. *Supplementum* (Band VIII/8)

3 – 4 II[1]151 Sir. 14, 19[1–2] (Wahl, *Sirach-Text*, p. 87) **8 – 9 II[1]152** Iac. 4, 14

2 – 4 II[1]151 K cap. A 3, 34 (60r[4]5–6); P cap. A 43, 34; ML[b] cap. A 43, 33; V[W] cap. A 10, 27 *(in mg.)*; T cap. A 65, 34; *deest in* V[E]V[O] H[I (lac.)] A[I] R **7 – 9 II[1]152** K cap. A 3, 35 (60r[6]7–8); V[E]V[O] cap. A 10, 35; V[W] cap. A 10, 29; A[I] cap. A 9, 35; P cap. A 43, 36; ML[b] cap. A 43, 35; T cap. A 65, 36; *deest in* H[I (lac.)] R; PG 95, 1117, 11–12

II[1]151 (a) K PL[b] T (b) *s. a.* V[W] M **II[1]152** (a) K V[E]V[O] A[I] PML[b] T Ἐκ] *om.* T ϊακώβου P T, ϊακωβου M (b) Ἰακώβου V[W]

3 – 4 Πᾶν – ἀπελεύσεται] *in mg.* V[W man. rec.] **4** ἀπελεύσεται] ἀπελεύσει V[W], ἀπολεῖται L[b] **8** οἵα K V, οια P, μια M ἡ[1]] *om.* V[O] ἀτμὶς – ἐστιν] ἀτμὴ γὰρ ἐστῖν V[O], *om.* M[a. c.] *(in mg. add.* ἀτμὶς γὰρ *man. rec.)*

II¹153 / K cap. A 3, 36

Τοῦ ἁγίου Βασιλείου, ἐκ τοῦ εἰς τὸν α′ ψαλμόν·

Ὁδὸς ὁ βίος εἴρηται διὰ τὴν πρὸς τὸ τέλος ἑκάστου τῶν γεννηθέντων ἔπειξιν. Ὥσπερ γὰρ οἱ ἐν τοῖς πλοίοις καθεύδοντες αὐτομάτως ὑπὸ τοῦ πνεύματος ἐπὶ λιμένας ἄγονται, κἂν αὐτοὶ μὴ αἰσθάνωνται, ἀλλ᾽ ὁ δρόμος αὐτοὺς πρὸς τὸ τέλος ἐπείγει, οὕτω καὶ ἡμεῖς, τοῦ χρόνου τῆς ζωῆς ἡμῶν παραρρέοντος, οἷόν τινι κινήσει συνεχεῖ καὶ ἀπαύστῳ πρὸς τὸ οἰκεῖον ἕκαστος πέρας τῷ λανθάνοντι δρόμῳ τῆς ζωῆς ἡμῶν κατεπειγόμεθα. Οἷον· καθεύδεις, καὶ ὁ χρόνος σε παρατρέχει· ἐγρήγορας, καὶ ἄσχολος εἶ τὴν διάνοιαν· ἀλλ᾽ ὅμως ἡ ζωὴ δαπανᾶται, κἂν τὴν αἴσθησιν διαφεύγῃ. Δρόμον οὖν τινα τρέχομεν πάντες ἄνθρωποι, πρὸς τὸ οἰκεῖον τέλος ἕκαστος ἐπειγόμενοι· διατοῦτο πάντες ἄνθρωποι ἐσμὲν *ἐν ὁδῷ*. Καὶ

3 Ps. 1, 1[1–2] **13** Ibid.

3 – 144, 18 II¹153 Basilius Caesariensis, *Homilia in Psalmum I*, 4–5 (PG 29, 220, 43 – 221, 28)

2 – 144, 18 II¹153 K cap. A 3, 36 (60r[8]9–60v17); $V^{E}V^{O}$ cap. A 10, 36; V^{W} cap. A 10, 30; A^{I} cap. A 9, 36; P cap. A 43, 37; ML^{b} cap. A 43, 36; T cap. A 65, 37; R cap. A 56, 24; R cap. A 56, 26; *deest in* $H^{I\,(lac.)}$; PG 95, 1007, 13–49

II¹153 (a) K PML^{b} T Τοῦ ἁγίου] *om.* ML^{b} T βασιλειου M ἐκ τοῦ] *om.* PM α′] πρῶτον L^{b} (b) Τοῦ αὐτοῦ, ἐκ τοῦ εἰς τὸν α′ ψαλμόν / Τοῦ αὐτοῦ R *(cf. infra, app. crit. text.)* (c) Βασιλείου V A^{I}

3 του τελους M **3 – 4** ἑκάστου – γεννηθέντων] *om.* K **4** ἔπιξιν $K^{a.\,c.}$ $V^{E\,a.\,c.\,ut\,videtur}$, ἄπιξιν $K^{p.\,c.\,ut\,videtur}$, λῆξιν R τοῖς πλίοις K, πλοίω R **5** πνεύματος] *e corr.* V^{E} ἐπὶ λιμένας] ἐπὶ λιμένα K, *om.* V^{W} PML^{b} T ἄγονται] ἔλκονται $V^{E}V^{O}$ A^{I} **5 – 6** κἂν – αἰσθάνωνται] *om.* V^{O} *(in mg. supplev. man. rec.)* **5 – 6** αἰσθάνονται *(αι- T)* V T, εσθάνονται P, αισθανονται M **6** ἀλλὰ P αὐτοῖς V^{E}, αὐτῆς V^{O} πρὸς] ἐπὶ R ἐπήγει $K^{a.\,c.}$ P, ἐπηγει M T, ἀπήγει $K^{p.\,c.\,ut\,videtur}$, ἄγει R **7** παραρεονται *(sic)* M οἱονεὶ τινὶ V^{W} T, οἷονεὶ τινὶ P, οἱονεί τϊνϊ L^{b}, οιονι τινι M **8** συνέχει V^{O} P T, συνεχει M οἰκεῖον] *add.* ἡμῶν R πέρας] *praem.* τῶ V^{O} **9** κατεπηγόμεθα P T καθεύδης P, καθευδεῖς M **10** ὁ] *om.* T γρήγορος L^{b} ἄσχολος] ἀσχολῇ A^{I} εἶ] *iterav.* P, εἰς V^{O} A^{I} **11** κἂν] καὶ R διαφεύγει $V^{E}V^{W}$ P T $R^{p.\,c.}$, διαφευγει M, διαφεύγειμεν $V^{O\,a.\,c.}$ **12** οὖν τινα] οὖν V A^{I} PML^{b} T R τρεχο- *e corr.* V^{W}, τρεχόμεν M, τρέχωμεν V^{O}, διαφεύγομεν K, φεύγομεν PL^{b} T ἅπαντες R ἄνθρωποι] *praem.* οἱ V^{O} **12 – 13** ἕκαστος] *in mg.* V^{W}, *om.* K **13** ἐπειγόμενος *(ἐπη- P[a.\,c.\,ut\,videtur] M)* V^{W} $P^{p.\,c.}$ ML^{b} T, κατεπειγόμενοι K **13 – 144, 18** διατοῦτο – ἔστη] καὶ τὰ ἑξῆς V^{W} **13** ἄνθρωποι] *praem.* οἱ V^{O}, *om.* R *(= ed.)*

οὕτως δ᾽ ἂν λάβοις τῆς *ὁδοῦ* τὴν ἔννοιαν. Ὁδοιπόρος ἐφέστηκας τῷ βίῳ τούτῳ· πάντα παρέρχεται, πάντα κατόπιν σου γίνεται. Εἶδες ἐπὶ τῆς ὁδοῦ φυτὸν ἢ πόαν ἢ ὕδωρ ἢ ὅτι ἂν τύχοι τῶν ἀξίων θεάματος· μικρὸν ἐτέρφθης, εἶτα παρέδραμες. Πάλιν ἐνέτυχες λίθοις καὶ φάραγξιν καὶ κρημνοῖς καὶ σκοπέλοις ἤ που καὶ θηρίοις καὶ ἑρπετοῖς καὶ ἀκάνθαις καί τισιν ἄλλοις τῶν ὀχληρῶν· μικρὸν ἠνιάθης, εἶτα κατέλιπες. Τοιοῦτος ὁ βίος, οὔτε τὰ τερπνὰ μόνιμα, οὔτε τὰ λυπηρὰ διαρκῆ κεκτημένος. Ἡ *ὁδὸς* οὐκ ἔστιν σή, ἀλλ᾽ οὐδὲ τὰ παρόντα σά. Ἐπὶ τῶν ὁδευόντων ὁμοῦ τε ὁ πρῶτος τὸ ἴχνος ἐκίνησεν, καὶ εὐθὺς ὁ μετ᾽ αὐτὸν τὴν βάσιν ἤνεγκεν, καὶ μετ᾽ ἐκεῖνον ὁ ἐφεπόμενος. Σκόπει δὲ εἰ μὴ καὶ τὰ τοῦ βίου παραπλήσια. Σήμερον τὴν γῆν σὺ ἐγεώργησας, καὶ αὔριον ἄλλος, καὶ μετ᾽ ἐκεῖνον ἕτερος. Ὁρᾷς τοὺς ἀγροὺς τούτους καὶ τὰς πολυτελεῖς οἰκίας; Πόσα ἤδη ὀνόματα τούτων ἕκαστον ἤμειψεν; Τοῦ δεῖνος ἐλέγετο, εἶτα μετωνομάσθη πρὸς ἕτερον· πρὸς τὸν δεῖνα μετῆλθεν, εἶτα νῦν ἄλλου λέγεται. Ἆρα οὖν οὐχ᾽ ὁδὸς ἡμῶν ὁ βίος, ἄλλοτε ἄλλον μεταλαμβάνων καὶ πάντας ἔχων ἀλλήλοις ἐφεπομένους; *Μακάριος* οὖν, *ὃς ἐπὶ τῆς ὁδοῦ τῶν ἁμαρτωλῶν οὐκ ἔστη*.

1 Ps. 1, 1[1–2] **8** Ibid. **18** Ibid.

1 λάβης L[b] τῆς ὁδοῦ] *om.* M ἔστηκας R **2** τούτῳ] *om.* PML[b] T πάντα παρέρχεται] *om.* R παρέρχεται] παρέρχη V[E p. c.], παρέρχει V[E a. c.] V[O] **3** εἴδες V[E]V[O], ἴδες K, ϊδες M πόαν] ὕδωρ T ἢ ὕδωρ] *om.* K V[E]V[O] A[I] ὕδωρ] πόαν T τύχη K L[b] *(= ed.)*, τύχει V[O] **4** θεαμάτων M μικρων *(sic)* M εἶτα] εἰ τὰ M **5** σκοπελαις M, σκοπιλοῖς K εἴ που V[E]V[O] T, εἰ που M **6** καὶ τοισιν M, καὶ τησιν T **7** ἡνιάθης V[E], ἰάνθης K κατέλειπες K P T οὔτε – μόνιμα] *om.* V[O] *(in mg. supplev. man. rec.)* **8** οὔτε] *s. l. praem.* ὁ K κεκτημένος] *hic caesura in* R **9** Ἐπὶ] ἐπεὶ K ὁμοῦ τε] *om.* K τὸ] *s. l.* K **11** ὁ ἐφεπόμενος] ὀφεπόμενος V[O] δὲ] *om.* K **12** Σήμερον] *post* γῆν *transpos.* V[E]V[O] A[I] PML[b] T R **13** ἑτεροι *(sic)* M **13 – 16** Ὁρᾷς – λέγεται] *om.* K **13** πολυτελας M **14** πόση V[O] εἴδη ὀνόματα L[b p. c.], εἴδη ὀνομάτων V[E] A[I], ἴδη ὀνομάτων *(sic)* V[O] τούτων] *post* ἕκαστον *transpos.* R δεῖνα L[b] **15** πρὸς ἕτερον] *om.* V[O] *(in mg. supplev. man. rec.)* **16** ἄρ᾽ οὖν K[p. c.], ἄρ᾽ οὖν K[a. c.], ἀρ᾽ οῦν M, ἄρα T ἡμῶν] *post* βίος *transpos.* K, *om.* V[O] **17 – 18** ἀφεπομένους V[O] **18** Μακάριος – ἔστη] *om.* K Μακάριος] *praem.* καὶ A[I] οὖν] μὲν R

II[1]154 / K cap. A 3, 37

Τοῦ αὐτοῦ, ἐκ τοῦ ε′ λόγου τῆς Ἑξαημέρου·

Ὅταν ἴδῃς βοτάνην χόρτου καὶ ἄνθος, εἰς ἔννοιαν ἔρχου τῆς ἀνθρωπίνης φύσεως, μεμνημένος τῆς εἰκόνος τοῦ σοφοῦ Ἡσαΐου, εἰπόντος ὅτι *Πᾶσα σὰρξ χόρτος, καὶ πᾶσα δόξα ἀνθρώπου ὡς ἄνθος χόρτου*. Τὸ γὰρ ὀλιγοχρόνιον τῆς ζωῆς καὶ τὸ ἐν ὀλίγῳ περιχαρὲς καὶ ἱλαρὸν τῆς ἀνθρωπίνης εὐημερίας, καιριωτάτης παρὰ τῷ προφήτῃ τετύχηκεν εἰκόνος. Ὁ σήμερον εὐθαλὴς τῷ σώματι, κατασεσαρκωμένος ὑπὸ τρυφῆς, ἐπανθοῦσαν ἔχων τὴν εὔχροιαν ὑπὸ τῆς κατὰ τὴν ἡλικίαν ἀκμῆς, σφριγῶν καὶ σύντονος καὶ ἀνυπόστατος τὴν ὁρμήν, αὔριον ὁ αὐτὸς οὗτος ἐλεεινός, ἢ τῷ χρόνῳ μαρανθείς, ἢ νόσῳ διαλυθείς. Ὁ δεῖνα περίβλεπτος ἐπὶ χρημάτων περιουσίᾳ, καὶ πλῆθος περὶ αὐτὸν κολάκων, δορυφορία φίλων προσποιητῶν, τὴν ἀπ᾽ αὐτοῦ χάριν θεραπευόντων, πλῆθος συγγενείας, καὶ ταύτης κατεσχηματισμένης, ἐσμὸς τῶν ἐφεπομένων μυρίος, τῶν τε ἐπὶ σιτίων καὶ τῶν κατὰ ἄλλας χρείας αὐτῷ προσεδρευόντων, οὓς καὶ προϊὼν καὶ πάλιν ἐπανιὼν ἐπισυρόμενος, ἐπίφθονός ἐστιν τοῖς ἐντυγχάνουσιν. Πρόσθες τῷ πλούτῳ καὶ πολιτικήν τινα δυναστείαν καὶ τὰς ἐκ βασιλέων τιμάς, ἢ ἐθνῶν ἐπιμέλειαν, ἢ στρατοπέδων ἡγεμονίαν, τὸν κήρυκα μέγα βοῶντα πρὸ αὐτοῦ, τοὺς ῥαβδοφόρους ἔνθεν καὶ ἔνθεν βαρυτάτην κατάπληξιν τοῖς

5 – 6 Is. 40, 6

3 – 146, 8 II[1]154 Basilius Caesariensis, *Homiliae in Hexaemeron*, V, 2 (ed. Mendieta†/Rudberg, p. 72, 8 – 73, 6)

2 – 146, 8 II[1]154 K cap. A 3, 37 (60v[17]18–61v7); $V^{E}V^{O}$ cap. A 10, 37; V^{W} cap. A 10, 31; A^{I} cap. A 9, 37; P cap. A 43, 38; ML^{b} cap. A 43, 37; T cap. A 65, 38; *quod attinet ad* R, *vide* *II[2]578 / T cap. B 5, 36; *deest in* $H^{I\,(lac.)}$; PG 95, 1117, 50 – 1120, 31

II[1]154 (a) K A^{I} PML^{b} T Τοῦ αὐτοῦ] *om.* PML^{b} τοῦ ε′ λόγου] *om.* A^{I} (b) Βασιλείου, τῆς Ἑξαημέρου $V^{E}V^{O}$ (c) Τοῦ αὐτοῦ V^{W}

3 ἄνθος] *add.* χόρτου V^{O} **4** Ἡσαΐου] ἡσαϊου P **5** ἄνθος] *om.* V^{O} a. c. in mg. man. rec. **7** καιριὸτάτης V^{O}, κυριωτατης M, ἀκεραιωτάτης K **8 – 146, 8** Ὁ – δόξης] καὶ τὰ ἑξῆς (εξις P) P T, καὶ τὰ λοιπά L^{b}, *om.* M **8** Ὁ] *om.* V^{W} **9** ἔχουσαν V^{W} **11 – 12** ἢ – μαρανθείς] ἡ τῶν χρόνον μακρανθεὶς V^{O} **12 – 146, 8** Ὁ – δόξης] καὶ τὰ ἑξῆς V^{W} **13** δορυφορίας V^{O} **14** ἐπ᾽ αὐτῶν K **15** κατησχηματισμένης K **15 – 16** μύριος K **16** τῶν τε] τῶν τῆ V^{O} ἐπὶ σιτίων] *scripsi (ed.)*, ἐπισιτίων K V^{E} A^{I}, ἐπισητῖων V^{O} κατὰ] καὶ τὰς V^{O} **16 – 17** παρεδρευόντων K **17** οὓς] *praem.* καὶ V A^{I} **18** συντυγχάνουσι V A^{I} **20** αὐτῶν V^{O}

ἀρχομένοις ἐμβάλλοντας, τὰς πληγάς, τὰς δημεύσεις, τὰς ἀπαγωγάς, τὰ δεσμωτήρια, ἐξ ὧν ἀφόρητος ὁ παρὰ τῶν ὑποχειρίων συναθροίζεται φόβος. Καὶ τί μετὰ τοῦτο; Μία νὺξ καὶ πυρετὸς εἷς, πλευρίτης ἢ περιπνευμονία, ἀνάρπαστον ἐξ ἀνθρώπων ἀπάγουσα τὸν ἄνθρωπον οἴχεται, πᾶσαν τὴν κατ᾽ αὐτὸν σκηνὴν ἐξαπίνης ἀπογυμνώσασα, καὶ ἡ δόξα ἐκείνη ὥσπερ ἐνύπνιον ἀπηλέγχθη. Ὥστε ἐπιτέτευκται τῷ προφήτῃ ἡ πρὸς τὸ ἀδρανέστατον ἄνθος ὁμοίωσις τῆς ἀνθρωπίνης δόξης.

II[1]155 / K cap. A 3, 38

Τοῦ αὐτοῦ, ἐκ τοῦ ς′ λόγου τῆς Ἑξαημέρου·

Οὐδὲν μόνιμον τῶν ἀνθρωπίνων, ἀλλὰ τὰ μὲν ἐκ τοῦ μὴ ὄντος πρόεισιν εἰς τὸ τέλειον, τὰ δὲ πρὸς τὴν οἰκείαν ἀκμὴν φθάσαντα καὶ τὸ ἀκρότατον μέτρον αὐτῶν αὐξηθέντα, πάλιν ταῖς κατὰ μικρὸν ὑφαιρέσεσιν φθίνει τε καὶ διαλύεται καὶ μειούμενα καθαιρεῖται· ὥστε ἐκ τοῦ κατὰ τὴν σελήνην θεάματος παιδεύεσθαι ἡμᾶς τὰ ἡμέτερα, καὶ τῆς ταχείας τῶν ἀνθρωπίνων περιτροπῆς λαμβάνοντας ἔννοιαν, μὴ μεγαλοφρονεῖν ταῖς εὐημερίαις τοῦ βίου, μὴ

11 – 147, 8 **II[1]155** Basilius Caesariensis, *Homiliae in Hexaemeron*, VI, 10 (ed. Mendieta†/Rudberg, p. 107, 6–18)

10 – 147, 8 **II[1]155** K cap. A 3, 38 (61v[8]9–62r5); V[E]V[O] cap. A 10, 38; V[W] cap. A 10, 32; A[I] cap. A 9, 38; P cap. A 43, 39; ML[b] cap. A 43, 38; T cap. A 65, 39; R cap. A 56, 30; *deest in* H[I (lac.)]; PG 95, 1120, 32–50

II[1]155 (a) PML[b] T R Τοῦ αὐτοῦ] *om.* PML[b] ς′] *om.* M (b) Ἐκ τοῦ εἰς τὴν Ἑξαήμερον ζ′ *(sic)* K (c) Τοῦ αὐτοῦ V A[I]

2 ἀπόρρητος V[E] A[I], ἀπόρητος V[O] **3** πυρετὸς. εἷς *(sic spir.)* K **4** πλευρίτις V[E] A[I] περιπνεύμονα *(-ϊ- V[O])* K V[O], περὶ πνεύμονΐα V[E p. c.], περὶ πνεύμονα V[E a. c.] ἀνάσπαστον K **5** κατ᾽] κατὰ V[O] **6** ἀπηλέχθη V[O], ἀπεδέχθη K **7** ἡ] *om.* K ἀδρανέστερον V[O] **8** δόξης] φύσεως V A[I] **11** ἀνθρώπων V[E]V[O] A[I] **12** πρόϊσιν V[E]V[W a. c.], πρόσεισιν K, παρεισιν M **13** μέτρον] *post* αὐτῶν *transpos.* K **14** ἀφαιρέσεσϊ L[b] φθίνει τὲ V[E]V[W e corr.] A[I] R, φθινεῖται K, φθίνητε *(-ι- M)* PM διαμειούμενα K[a. ras.] **14 – 15** καθαίρεται P **15 – 147, 8** ὥστε – ἀνίδρυτον] καὶ τὰ ἑξῆς *(εξις P)* PL[b] T, *om.* M R **16** ταχίστης K τῶν] *om.* K[p. ras.], *non liquet* K[a. ras.] **17 – 147, 8** μὴ[2] – ἀνίδρυτον] καὶ τὰ ἑξῆς *(sic)* V[W]

ἐπαγάλλεσθαι δυναστείαις, μὴ ἐπαίρεσθαι *πλούτου ἀδηλότητι*, περιφρονεῖν τῆς σαρκός, περὶ ἣν ἡ ἀλλοίωσις, ἐπιμελεῖσθαι δὲ τῆς ψυχῆς, ἧς τὸ ἀγαθόν ἐστιν ἀκίνητον. Εἰ δὲ λυπεῖ σε ἡ σελήνη ταῖς κατὰ μικρὸν ὑφαιρέσεσι τὸ φέγγος ἐξαναλίσκουσα, λυπείτω σε πλέον ψυχὴ ἀρετὴν κτησαμένη καὶ δι᾽ ἀπροσεξίας αἰτίαν τὸ καλὸν ἀφανίζουσα, καὶ μηδέποτε ἐπὶ τῆς αὐτῆς διαθέσεως μένουσα, ἀλλὰ πυκνὰ τρεπομένη καὶ μεταβαλλομένη διὰ τὸ τῆς γνώμης ἀνίδρυτον.

II[1]156 / K cap. A 3, 39

Τοῦ αὐτοῦ, ἐκ τοῦ εἰς τὰς Παροιμίας·

Τὸν βίον τοῦτον πολλαχοῦ εὑρίσκομεν ὑπὸ τῆς θείας Γραφῆς ὕδατα καὶ θάλασσαν ὀνομαζόμενον, ὡς ἐν τῷ ψαλμῷ· *Ἐξαπέστειλεν ἐξ ὕψους καὶ ἔλαβέν με, προσελάβετό με ἐξ ὑδάτων πολλῶν*. Πρόδηλον γὰρ ὅτι τὴν ταραχὴν τοῦ βίου *ὕδατα* λέγει. Οὔτε γὰρ τὰ δεξιὰ καὶ περισπούδαστα τοῖς πολλοῖς τὸ ἑστὸς καὶ μόνιμον ἔχει, οὔτε τὰ περιστατικὰ τῶν πραγμάτων καὶ κατηφῆ παγίως ἥδρασται, ἀλλὰ πάντα σάλῳ τινὶ καὶ κλύδωνι καὶ μεταβολαῖς ἀδοκήτοις ὑπόκειται. Ὥσπερ οὖν θάλασσαν ἀμήχανον τὴν αὐτὴν ἐπι-

1 I Tim. 6, 17 **12 – 13** Ps. 17, 17[1–2]

11 – 148, 5 II[1]156 Basilius Caesariensis, *Homilia in principium Proverbiorum*, 15 (PG 31, 417, 22–37)

10 – 148, 5 II[1]156 K cap. A 3, 39 (2r[5]6–22); $V^{E}V^{O}$ cap. A 10, 39; V^{W} cap. A 10, 33; A^{I} cap. A 9, 39; P cap. A 43, 40; ML^{b} cap. A 43, 39; T cap. A 65, 40; R cap. A 56, 31; *deest in* $H^{I\,(lac.)}$; PG 95, 1120, 51 – 1121, 11

II[1]156 (a) $V^{E}V^{O}$ A^{I} T R ἐκ – εἰς] *non liquent in* A^{I} ἐκ τοῦ] *om.* $V^{E}V^{O}$ (b) Ἐκ τοῦ εἰς τὰς Παροιμίας K PML^{b} (c) Τοῦ αὐτοῦ V^{W}

1 ἐπαγγέλλεσθαι $K^{p.\,c.}$, ἐπαγγέλεσθαι $K^{a.\,c.}$ **2** ἡ] *om.* K **3** Εἰ] ἡ V^{O} λυπεῖ σε] λυπεῖσαι V^{E}, λϋπῆσαι V^{O} **4** ἐξαναλίσκουσα] ἐξαφανίζουσα $V^{E}V^{O}$ A^{I} **5** διὰ προσεξίας V^{O} **6 – 7** μένουσα, ἀλλὰ] *om.* A^{I} **7** τερπομένη $V^{E}V^{O}$ **11** τοῦτο V^{O} **14** γὰρ[1]] *s. l.* K, *om.* PML^{b} T R ὕδατα] *om.* L^{b} **14 – 148, 5** Οὔτε – ἑκάτερα] *om.* V^{W} **17** ἥδρασται $V^{E\,p.\,c.}$, ἕδρασται K, ἔδρασται $V^{E\,a.\,c.}$ V^{O} ἀλλ᾽ απάντα *(sic)* M πάντα] πανταχοῦ L^{b}

πολὺ διαρκῆσαι – τὴν γὰρ νῦν λίαν σταθερὰν μικρὸν ὕστερον ὄψει βίαις ἀνέμων τραχυνομένην, καὶ πάλιν τὴν ἀγριαίνουσαν καὶ βρασσομένην τῷ κλύδωνι, βαθεῖα γαλήνη ταχὺ κατεστόρησεν – οὕτως καὶ τὰ τοῦ βίου πράγματα ῥαδίως λαμβάνει τὰς περιστροφὰς ἐφ᾽ ἑκάτερα.

II¹157 / K cap. A 3, 40

Τοῦ αὐτοῦ, ἐκ τοῦ περὶ εὐχαριστίας·

Οὐδὲν τῶν ἀνθρωπίνων βέβαιον, οὐδὲ εἰς τὸ παντελὲς παραμένειν τοῖς κτησαμένοις πέφυκεν.

II¹158 / K cap. A 3, 41

Τοῦ αὐτοῦ, ἐκ τῆς ξς′ ἐπιστολῆς·

Τὰ ἀνθρώπινα ταῦτα σκιᾶς ἐστιν ἀδρανέστερα καὶ ὀνείρων ἀπα-

---

8 – 9 II¹157 Basilius Caesariensis, *Homilia de gratiarum actione (In illud:* Semper gaudete *[I Thess. 5, 16])*, 7 (PG 31, 233, 36–38) **12 – 149, 5 II¹158** Basilius Caesariensis, *Epistulae*, CCLXXVII, 19–26 (ed. Courtonne, III, p. 150)

---

7 – 9 II¹157 K cap. A 3, 40 (62r[22]23–62v2); $V^{E}V^{O}$ cap. A 10, 40; V^{W} cap. A 10, 34; A^{I} cap. A 9, 40; P cap. A 43, 41; ML^{b} cap. A 43, 40; T cap. A 65, 41; R cap. A 56, 32; *deest in* $H^{I\,(lac.)}$; PG 95, 1121, 12–13 **11 – 149, 5 II¹158** K cap. A 3, 41 (62v[2]3–9); $V^{E}V^{O}$ cap. A 10, 41; V^{W} cap. A 10, 35; A^{I} cap. A 9, 41; P cap. A 43, 42; ML^{b} cap. A 43, 41; T cap. A 65, 42; R cap. A 56, 33; *deest in* $H^{I\,(lac.)}$; PG 95, 1121, 14–21

II¹157 (a) K PML^{b} T R Τοῦ αὐτοῦ] *om.* K PML^{b} τοῦ] τῆς M (b) Τοῦ αὐτοῦ A^{I} (c) *s. a.* V **II¹158** (a) K PML^{b} T R Τοῦ] *om.* K PML^{b} R (b) Τοῦ αὐτοῦ V^{W} (c) *s. a.* $V^{E}V^{O}$ A^{I}

---

1 διαρκῆσαι] *sic* K T, διαρκησαι P, διαρκέσαι $V^{E}V^{W}$ A^{I} L^{b} R *(sic etiam* *II²1331 / T cap. E 9, 21*)*, διαρκεσε M, διαρκέσει V^{O}, *post* διαρκῆσαι *iterav. et expunx.* την επὶ πολυ διαρκησαι P νῦν] *om.* K L^{b} λίαν] λείαν R *(cf. ed.)* σταθηρὰν PML^{b} T R **1 – 2** ὄψει] ὄψη K, οψη M **2** βϊαίως V^{O} τὴν] αὐτὴν $V^{E\,p.\,c.}$ **3** βαρεῖα $R^{a.\,c.}$, βραχεία $R^{p.\,c.\,s.\,l.}$ γαλήνῃ L^{b} ταχὺ] *om.* PML^{b} T R κατεστόρησεν] *sic* K P *(cf. etiam* *II²1331 / T cap. E 9, 21*)*, κατεστόρεσεν $V^{E}V^{W}$ L^{b} R, -στορέσαν T, -στρωσεν M **4** ῥαδίως] μεγάλως *e corr.* M **4 – 5** τὰς περιστροφὰς] περιστροφὰς V A^{I} PL^{b} T R, περιστροφὴν *(-ὴν e corr.)* M **5** ἐφ᾽] *om.* M **8** ἀνθρώπων M **9** κτησαμένοις] *om.* L^{b} πέφυκεν] ὁ πεφοικεν M **12** ταῦτα] ταύτα *e corr.* K, πάντα M

τηλότερα. Ἥ τε γὰρ νεότης ἐαρινῶν ἀνθῶν ὀξύτερον καταρρεῖ, καὶ ὥρα σώματος ἢ χρόνῳ ἢ νόσῳ ἀπομαραίνεται. Καὶ πλοῦτος μὲν ἄπιστος, δόξα δὲ εὐπερίτρεπτος, αἵ τε περὶ τὰς τέχνας διαπονήσεις τῷ χρόνῳ τούτῳ συναπαρτίζονται. Ἀλλὰ καὶ τὸ περισπούδαστον ἅπασιν, οἱ λόγοι, ἄχρι ἀκοῆς τὴν χάριν ἔχουσιν.

<II[1]suppl. 150 / V cap. A 10, 42>

II[1]159 / K cap. A 3, 42

Ἐκ τῆς πα′ ἐπιστολῆς·

Ἄνθρωποι ταῖς νεφέλαις ἐοίκασιν, πρὸς τὰς τῶν πνευμάτων μεταβολὰς ἄλλοτε κατ᾽ ἄλλο μέρος τοῦ ἀέρος ἐμφερομέναις.

---

6 II[1]suppl. 150 cf. *Sacra*. Liber II. *Supplementum* (Band VIII/8) **9 – 10** exstat etiam ap. Ps.-Max. Conf., *Loci communes*, 25.9./9. (ed. Ihm, p. 559–560)

---

9 – 10 II[1]159 Basilius Caesariensis, *Epistulae*, CCXLIV, 9, 1–3 (ed. Courtonne, III, p. 82)

---

8 – 10 II[1]159 K cap. A 3, 42 (62v[9]10–12); $V^{E}V^{O}$ cap. A 10, 43; V^{W} cap. A 10, 37; A^{I} cap. A 9, 43; P cap. A 43, 44; ML^{b} cap. A 43, 43; T cap. A 65, 44; E cap. 152, 254; *deest in* $H^{I\,(lac.)}$ R; PG 95, 1121, 38–40

II[1]159 (a) K (b) Τοῦ αὐτοῦ V A^{I} (c) Ἐκ τῶν ἐπιστολῶν PML^{b} T (d) Βασιλείου E

---

1 Ἥ τε] ἠτε K, εἴτε $V^{E\,a.\,c.\,ut\,videtur}$ V^{O}, εἶτε P, εἰτε M ἀερινῶν K $V^{E}V^{O}$ A^{I} ὀξυτερων *(sic)* M **2** χρόνον V^{O} **3 – 5** αἵ – ἔχουσιν] καὶ τὰ ἑξης *(sic)* V^{W} **3** περὶ] ἐπὶ K τέχνας] τέχας $P^{a.\,c.}$, τρίχας L^{b} R **3 – 4** διαπονήσεις] διαπονούσης T, δϊαπορήσεις A^{I} **4** τούτῳ] *om.* A^{I} ἀπαρτίζονται V^{O}, συναρπαζονται M **4 – 5** Ἀλλὰ – ἔχουσιν] *om.* K **5** ἄχρϊς A^{I} L^{b} **9** πνευμάτων] $V^{E\,e\,corr.}$, ἀνθρωπίνων V^{W} **10** ἄλλο] ἄλον *(sic)* V^{O} φερομέναις $V^{W\,p.\,ras.}$ PL^{b} T E, φερομενοι M

II[1]160 / K cap. A 3, 43

Τοῦ ἁγίου Γρηγορίου τοῦ θεολόγου, ἐκ τοῦ περὶ φιλοπτωχίας·

Φύσει μὲν οὐδὲν τῶν ἀνθρωπίνων βέβαιον, οὐδὲ ὁμαλόν, οὐδὲ αὔταρκες, οὐδὲ ἐπὶ τῶν αὐτῶν ἱστάμενον, ἀλλὰ κύκλος τις τῶν ἡμετέρων περιτρέχει πραγμάτων, ἄλλοτε ἄλλας ἐπὶ μιᾶς ἡμέρας πολλάκις, ἔστιν δὲ ὅτε καὶ ὥρας, φέρων μεταβολάς· καὶ αὔραις μᾶλλον ἔστι πιστεύειν οὐχ᾽ ἱσταμέναις καὶ νηὸς ποντοπορούσης ἴχνεσι, καὶ νυκτὸς ἀπατηλοῖς ὀνείρασιν, ὧν πρὸς ὀλίγον ἡ χάρις, καὶ ὅσα κατὰ ψαμάθων παῖδες τυποῦσι παίζοντες, ἢ ἀνθρώπων εὐημερίᾳ.

II[1]161 / K cap. A 3, 44

Ἐκ τοῦ αὐτοῦ·

Ἐμοὶ δοκεῖ μηδὲν τῶν ἐνταῦθα ἀγαθῶν εἶναι πιστὸν τοῖς ἀνθρώποις, μὴ δὲ πολυχρόνιον, καὶ τοῦτο καλῶς τῷ τεχνίτῃ λόγῳ καὶ τῇ πάντα νοῦν περιεχούσῃ σοφίᾳ μεμηχανῆσθαι, παίζεσθαι ἡμᾶς ἐν τοῖς ὁρωμένοις, ἄλλοτε ἄλλως μεταβαλλομένοις καὶ μεταβάλλου-

3 – 10 exstat etiam ap. Ps.-Max. Conf., *Loci communes*, 60.6./67.8. (ed. Ihm, p. 910–911)

3 – 10 II[1]160 Gregorius Nazianzenus, *De pauperum amore (Orat. 14)*, 19 (PG 35, 881, 14–23) **13 – 151, 7 II[1]161** Gregorius Nazianzenus, *De pauperum amore (Orat. 14)*, 20 (PG 35, 884, 10–24)

2 – 10 II[1]160 K cap. A 3, 43 (62v[13]14–23); $V^{E}V^{O}$ cap. A 10, 44; V^{W} cap. A 10, 38; A^{I} cap. A 9, 44; P cap. A 43, 45; ML^{b} cap. A 43, 44; T cap. A 65, 45; *quod attinet ad* R, *vide* *II[2]581 / T cap. B 5, 39; *deest in* $H^{I\,(lac.)}$; PG 95, 1121, 41–50 **12 – 151, 7 II[1]161** K cap. A 3, 44 (62v[23]63r1–14); *deest in* V $H^{I\,(lac.)}$ A^{I} PML^{b} T R

II[1]160 (a) K (b) Τοῦ Θεολόγου, ἐκ τοῦ περὶ φιλοπτωχίας $V^{E}V^{O}$ A^{I} PML^{b} T ἐκ τοῦ] *om.* $V^{E}V^{O}$ A^{I} PM (c) Τοῦ Θεολόγου V^{W}

3 μὲν] *add.* οῦν *(sic)* M οὐδὲν – ἀνθρωπίνων] τῶν ἀνθρώπων *(sic)* πραγμάτων οὐδὲν L^{b} ὁμαλὸν V^{O} *(-ον* M*)* $M^{a.\,ras.}$ $P^{a.\,ras.}$ **4** αὐταρκὲς *(-ες* M*)* PM **5** ἄλλας] ἄλλως $K^{a.\,c.}$, αλλως M **6** πολλάκις] *om.* K ὅτε] ὅτι $V^{W}V^{O}$ **7** μᾶλλον ἐστῖ L^{b}, μᾶλλον εστι P, μαλλον εστιν M πιστεύειν] πιστεύειν ἐστὶν V^{E}, πιστεύειν ἔστιν A^{I}, πϊστεύειν αὐτὸν ἐστὶ V^{O} **8** νυκτὸς] νηὸς L^{b} **9** ψαμάθων] ψάμμων L^{b} ἢ] ἤ K, ἡ PM T ἀνθρώπων] τῆι τῶν ἀνθρώπων ἡ K **15** μεμηχανῆσθαι] *scripsi*, μεμηχανᾶσθαι K

σιν, καὶ ἄνω καὶ κάτω φερομένοις τε καὶ περιτρεπομένοις, καὶ πρὶν ληφθῆναι ἀπιοῦσι καὶ φεύγουσιν, ἵνα τὸ ἐν τούτοις ἄστατον καὶ ἀνώμαλον θεωρήσαντες, πρὸς τὸ μέλλον μεθορμησώμεθα. Τί γὰρ ἂν ἐποιήσαμεν, ἑστῶτος τοῦ εὖ πράττειν ἡμῖν, ὁπότε, οὐ μένοντος, τοσοῦτον αὐτῷ προσδεδέμεθα, καὶ οὕτω ἡμᾶς ἡ περὶ τούτου ἡδονὴ καὶ ἀπάτη ἔχει δουλώσασα, ὥστε μηδὲν κρεῖττον οὐδὲ ὑψηλότερον τῶν παρόντων διανοεῖσθαι;

II[1]162 / K cap. A 3, 45

Ἐκ τοῦ αὐτοῦ·

Τὰ μὲν γάρ ἐστιν ῥευστὰ καὶ πρόσκαιρα καί, ὥσπερ ἐν παιδιᾷ ψήφων, ἄλλοτε εἰς ἄλλους μεταριπτούμενα καὶ μετατιθέμενα, καὶ οὐδὲν οὕτω τοῦ κατέχοντος ἴδιον, ὡς ἢ μὴ χρόνῳ παυθῆναι ἢ φθόνῳ μετατεθῆναι.

II[1]163 / K cap. A 3, 46

Τοῦ αὐτοῦ, ἐκ τοῦ πρὸς τὸν ἄρχοντα καὶ τοὺς πολιτευομένους·

Οὐδὲν ἀκίνητον, ὅπερ ἔφην, οὐδὲ ὁμαλόν, οὐδὲ αὔταρκες, οὐδὲ

10 – 13 II[1]162 Gregorius Nazianzenus, *De pauperum amore (Orat. 14)*, 20 (PG 35, 884, 3–8) **16 – 152, 7 II[1]163** Gregorius Nazianzenus, *Ad praefectum et cives Nazianzenos (Orat. 17)*, 4 (PG 35, 969, 44 – 972, 8)

9 – 13 II[1]162 K cap. A 3, 45 (63r[mg]15–19); $V^{E}V^{O}$ cap. A 10, 45; A^{I} cap. A 9, 45; P cap. A 43, 46; L^{b} cap. A 43, 45; *deest in* V^{W} $H^{I\,(lac.)}$ M T R; PG 95, 1121, 51–54 **15 – 152, 7 II[1]163** K cap. A 3, 46 (63r[19–20]21–63v8); $V^{E}V^{O}$ cap. A 10, 46; V^{W} cap. A 10, 39; A^{I} cap. A 9, 46; P cap. A 43, 47; M cap. A 43, 45; T cap. A 65, 46; *quod attinet ad* R, *vide* *II[2]583 / T cap. B 5, 41; *deest in* $H^{I\,(lac.)}$ L^{b}; PG 95, 1124, 1–10

II[1]162 (a) K (b) Τοῦ αὐτοῦ $V^{E}V^{O}$ A^{I} (c) Καὶ μετ᾽ ὀλίγα P (d) Καὶ μετ᾽ ὀλίγα, ἕτερα L^{b} **II[1]163** (a) K PM T Τοῦ αὐτοῦ] *om.* K (b) Τοῦ αὐτοῦ V^{W} A^{I} (c) *s. a.* $V^{E}V^{O}$

4 ὁπότε] *correxi (ed.)*, ὃ ποτὲ K **5** προσδεδέμεθα] *correxi (*II[2]1337 / T cap. E 9, 27 *et ed.)*, προσδεδήμεθα K **5 – 6** τούτου] τοῦτο *ed.* **6** οὐδὲ] μηδὲ *ed.* **7** *post* διανοεῖσθαι *hab.* δύνασθαι *ed.* **10 – 13** Τὰ – μετατεθῆναι] *om.* PL^{b} **10** ὥσπερ] ὡς K **11** καὶ μετατιθέμενα] *om.* $V^{E}V^{O}$ A^{I} **12** ἢ[1]] εἰ K **12 – 13** ἢ[2] – μετατεθῆναι] *om.* V^{O} *(in mg. supplev. man. rec.)* **16** ἔφημεν K οὐδὲ[1]] οὐδὲν M αὐταρκὲς P, αὐτάρκες V^{O}, αυταρκες M

εἰς τέλος ὅμοιον, οὔτε τὸ εὐθυμεῖν, οὔτε τὸ ἀθυμεῖν, οὐ πλοῦτος, οὐ πενία, οὐ δύναμις, οὐκ ἀσθένεια, οὐ ταπεινότης, οὐ δυναστεία, οὐ τὸ παρόν, οὐ τὸ μέλλον, οὐ τὸ ἡμέτερον, οὐ τὸ ἀλλότριον, οὐ μικρόν, οὐ μεῖζον, οὐχ᾽ ὅτι ἂν εἴποι τίς. Καὶ τοῦτο ἴσον ἡ ἀνισότης ἔχει, τὴν περὶ πάντα μεταβολήν. Περιχωρεῖ γὰρ τὰ πάντα ῥαδίως καὶ μεταχωρεῖ καὶ ἀντικαθίσταται, ὡς αὔραις εἶναι μᾶλλον πιστεύειν καὶ γράμμασι τοῖς καθ᾽ ὕδατος, ἢ ἀνθρώπων εὐημερίᾳ.

II[1]164 / K cap. A 3, 47

Ἐκ τοῦ εἰς τὸν ἀδελφὸν ἐπιταφίου·

Τοιοῦτος ὁ βίος ἡμῶν, ἀδελφοί, τῶν ζώντων πρόσκαιρα. Τοιοῦτον τὸ ἐπὶ γῆς παίγνιον· οὐκ ὄντας γενέσθαι, καὶ γενομένους ἀναλυθῆναι. Ὄναρ ἐσμὲν οὐχ᾽ ἱστάμενον, φάσμα μὴ κρατούμενον, πτῆσις ὀρνέου παρερχομένου, ναῦς ἐπὶ θαλάσσης ἴχνος οὐκ ἔχουσα, κόνις, ἀτμίς, ἐωθινὴ δρόσος, ἄνθος καιρῷ φυόμενον καὶ καιρῷ λυόμενον. *Ἄνθρωπος, ὡσεὶ χόρτος αἱ ἡμέραι αὐτοῦ· ὡσεὶ ἄνθος τοῦ ἀγροῦ, οὕτως ἐξανθήσει*. Καλῶς ὁ θεῖος Δαυῒδ περὶ τῆς ἀσθενείας ἡμῶν ἐφιλοσόφησεν καὶ ἐν ἐκείνοις τοῖς ῥήμασιν· *Τὴν ὀλιγότητα τῶν ἡμερῶν μου ἀνάγγειλόν μοι*· καὶ παλαιστῶν μέτρον τὰς ἀνθρωπίνας ἡμέρας ὁρίζεται.

---

13 – 14 πτῆσις – ἔχουσα] cf. Sap. 5, 10[1]–11[2] **15 – 16** Ps. 102, 15[1–2] **17 – 18** Τὴν – μοι] Ibid. 101, 24[2] **18 – 19** παλαιστῶν – ἡμέρας] cf. ibid. 38, 6[1]

---

10 – 19 II[1]164 Gregorius Nazianzenus, *Funebris in laudem Caesarii fratris oratio (Orat. 7)*, 19, 1–12 (ed. Calvet-Sebasti, p. 226–228)

---

9 – 19 II[1]164 K cap. A 3, 47 (63v[8]9–16); $V^{E}V^{O}$ cap. A 10, 48; A^{I} cap. A 9, 48; *quod attinet ad* R, *vide* *II[2]579 / T cap. B 5, 37; *deest in* V^{W} $H^{I\,(lac.)}$ PML^{b} T; PG 95, 1124, 14–25

II[1]164 (a) K (b) *s. a.* $V^{E}V^{O}$ A^{I}

---

1 τέλος] *praem.* τὸ K τὸ[1]] *om.* K $V^{E}V^{O}$ A^{I} οὔτε[2] – ἀθυμεῖν] *om.* V^{O} τὸ[2]] *om.* K V^{E} A^{I} **2** ἀσθένειαν V^{O} **3** τὰ παρόντα $V^{E}V^{O}$ A^{I} τὰ μέλλοντα $V^{E}V^{O}$ A^{I} τὸ ἡμέτερον] ταμέτερον V^{O} οὐ τὸ[4]] οὐτε M **4** οὐ] ἢ V A^{I}, ἡ P ἴσον PM T, ἶσον V^{E} A^{I}, ἴσον V^{W} ἡ ἀνισότης] κἂν ἰσότης V^{O} **5** πάντα[1]] πάντων V^{O} **5 – 7** Περιχωρεῖ – εὐημερίᾳ] *om.* V^{W} **5** παραχωρεῖ M γὰρ] *s. l.* V^{O} **5 – 6** τὰ – μεταχωρεῖ] *om.* T **6** εἶναι] *om.* K **7** ἢ] ἡ PM T εὐημερίαν K, εὐμερία V^{O} **10** τῶν – πρόσκαιρα] *om.* $V^{E}V^{O}$ A^{I} **12** οὐχ᾽ – φάσμα] *om.* $V^{E}V^{O}$ A^{I} **15 – 19** Ἄνθρωπος – ὁρίζεται] *om.* K **18** ὀλιγότητα] ἡμερότητα V^{O}

II¹165 / K cap. A 3, 48

<***>

Τοῦτό σοι τῆς ἐνταῦθα ζωῆς τὸ κέρδος, ὁδηγηθῆναι διὰ τῆς ταραχῆς τῶν ὁρωμένων καὶ σαλευομένων ἐπὶ τὰ ἑστῶτα καὶ μένοντα.

II¹166 / K cap. A 3, 49

Τοῦ αὐτοῦ, ἐκ τῆς περὶ τῆς τῶν παρόντων ματαιότητος, τῶν Ἐπῶν·

Πολλαὶ μὲν βιότοιο
πολυτλήτοιο
κέλευθοι,
Ἄλλη δ' ἀλλοίοις πήμασι
συμφέρεται.

Πολλαὶ μὲν τοῦ βίου
τοῦ πολυπαθοῦς
αἱ ὁδοί,
ἄλλη δὲ ἀλλοίαις βλάβαις
συμμίσγεται.

Κοὐδὲν ἐν ἀνθρώποισι
καλὸν κακότη<το>ς ἄμικτον.
Αἶθε δὲ μὴ τὰ λυγρὰ
πλείονα μοῖραν ἔχεν.

Καὶ οὐδὲν ἐν τοῖς ἀνθρώποις
ἀγαθὸν τῆς κακίας ἀμέτοχον.
Ὤφελον δὲ μὴ τὰ χαλεπὰ
πλειοτέραν μερίδα εἶχεν.

Ὁ πλοῦτος μὲν ἄπιστος,

Ὁ πλοῦτος μὲν ἄπιστος,

---

3 – 5 II¹165 GREGORIUS NAZIANZENUS, *Funebris in laudem Caesarii fratris oratio (Orat. 7)*, 19, 29–31 (ed. Calvet-Sebasti, p. 228) **9 – 157, 15 II¹166** GREGORIUS NAZIANZENUS, *Carmina*, I,2,16 *(De vitae itineribus)*, 5–40 (PG 37, 779, 1 – 781, 8)

---

2 – 5 II¹165 K cap. A 3, 48 (63v16–18); *deest in* V $H^{I\,(lac.)}$ A^{I} PML^{b} T R **7 – 157, 15 II¹166** K cap. A 3, 49 (63v[18–19]20–66r4) *(Versio primitiva et paraphrasis)*; V cap. A 10, 49; A^{I} cap. A 9, 49; P cap. A 43, 56; M cap. A 43, 53; T cap. A 65, 55; R cap. A 56, 40; *deest in* $H^{I\,(lac.)}$ L^{b} *(Versio primitiva deest in* V A^{I} PM T R*)*; PG 95, 1124, 26–53

II¹165 *s. d.* K **II¹166** (a) K (b) Τοῦ Θεολόγου V^{W} PM T (c) Τοῦ αὐτοῦ A^{I} R (d) *s. a.* $V^{E}V^{O}$

---

9 Πολλαὶ²] πολλα $P^{a.\,c.}$, πολλαι $P^{p.\,c.}$ M βίου] *add.* τούτου R **10** πολυπαθοῦς] εμπαθους M **13** συμμίσγεται] ουμισγεται $M^{a.\,c.}$, ουμμισγεται $M^{p.\,c.}$, συμμίγνυται V^{E} A^{I}, σϋμμύγνυται V^{O} **14 – 17** Καὶ – εἶχεν] *om.* V A^{I} PM T R **15** κακότητος] *correxi (ed.)*, κακότης K

ὁ δὲ θρόνος ὀφρὺς ὀνείρων·

Ἄρχεσθαι δὲ μόγος,
ἡ πενίη δὲ πέδη.

Κάλλος δ' ἀστεροπῆς

τυτθὴ χάρις, ἡ νεότης δὲ
Βράσμα χρόνου· πολιὴ
λυπρὰ λύσις βιότου.

Οἱ δὲ λόγοι †ταχέεσκεν†,
ἀὴρ κλέος, αἷμα παλαιὸν
Εὐγενέται· ῥώμη συὸς
τ' ἀγροτέρου.

Ὑβριστὴς δὲ κόρος,
δεσμὸς γάμος,
εὐτεκνίη δὲ
Φροντὶς ἀναγκ<αί>η,
δυστεκνίη δὲ νόσος.

Αἱ δ' ἀγοραὶ κακίης
μελεδήματα, [ἡρ]
ἡρεμίη δὲ
Ἀδρανίη· τέχναι
τῶν χαμαὶ ἐρχομένων.

ἡ δὲ ἀρχὴ καὶ ἡγεμονία
ὑπερηφανία ὀνείρων·
καὶ τὸ ἄρχεσθαι μόχθος,
ἡ πενία δὲ δεσμός.

Εὐμορφία δὲ ἐπιλάμπουσα
καὶ ἐπαστράπτουσα
μικρὰ χάρις, ἡ νεότης δὲ
θερμότης χρόνου· τὸ γῆρας
λυπηρὸν τέλος τοῦ βίου.

Οἱ δὲ λόγοι ταχεῖς,
ἡ δόξα ὡς ἀήρ, γένος ἀρχαῖον
εὐγενεῖς· ἰσχὺς ὡς ἡ τοῦ χοίρου
τοῦ ἐν ἀγρῷ.

Ἄτακτος δὲ ἡ πλησμονή,
δεσμὸς ὁ γάμος,
εὐπαιδία δὲ τέκνων
μέριμνα ἀναγκαστική,
ἡ δὲ κακοτεκνία νόσος καὶ ὀδύνη.

Αἱ δὲ ἀγοραὶ τῆς κακίας
φροντίδες,
ἡ μόνωσις δὲ
ἀσθένεια· αἱ τέχναι
τῶν κάτω βαδιζόντων (εὐτελῶν).

---

1 ἡ δὲ] ἡ δε K, ἡ τε M ἡγεμονεία T, ἡγεμονεῖα K, ἡ γεμονία V^E, ἡδεμονία V^O **2** ὑπερηφανία ὀνείρων] ὑπερηφανεία, ονειρον M, ὀνείρων ὑπερηφανία R, ὀνείρων ὑπερηφάνεια T, ὑπερηφανίαν ὀνείρων V^O **3** μόχθος] ἄχθος T **4** ἡ[2]] *om.* A^I **5** ἀστεροπῆς] *correxi (ed.)*, ἀστέροπες K **6** ἀπαστράπτουσα *(-στρα- PM)* PM T, ἐπαστράπουσα K, καταστράπτουσα $V^{W\ e\ corr.}$, ἀστράπτουσα R **7** δὲ[2]] *om.* M **8** χρόνου[2]] χρονω M **9** λύσις] *correxi (ed.)*, δύσις K λυπηρὸν] λυπηρόν τε *(λη- V^O)* V^EV^O A^I, λοιπὸν R **10** †ταχέεσκεν†] *cruces apposui*, *sic* K, πτερόεντες *ed.* Οἱ[2] – ταχεῖς] *om.* V A^I PM T R **11 – 12** γένος – εὐγενεῖς] *om.* V A^I PM T R **12 – 14** ἰσχὺς – πλησμονή] *om.* V^W **12** ἰσχὺς] *praem.* ἡ R ὡση του M, ὡσεὶ τοῦ R, ὡς ἤτοι V^EV^O A^I χοίρου] χόρτου V^EV^O A^I, ἀχύρου PM T R **13** τοῦ] ὡς P T **15** δεσμὸς[2]] δεσμὰ K V A^I **16** δὲ[2]] δε M, *om.* V A^I P T R **17** ἀναγκαίη] *correxi (ed.)*, ἀνάγκη K **18** κακοτεχνία V A^I **20** ἡρ] *delevi* **21** ἡρεμίη] *sic spir.* K μόνοσις V^W P T **22 – 23** αἱ – εὐτελῶν] *om.* V A^I PM T R **23** εὐτελῶν] *interpretatio esse videtur ab excerptore addita*

Στεινὴ δ᾽ ἀλλοτρίη
μάζα, τὸ δὲ γαῖαν
ἀρόσσειν
Μόχθος· ποντοπόρων
τὸ πλέον
εἰν Ἄϊδῃ.

Στενὴ δὲ καὶ ἐπονείδιστος
ἡ ἀλλοτρία τροφή, τὸ δὲ τὴν γῆν
ἀροτριᾶν
κόπος· τῶν θαλασσοπλόων
ὡς ἐπὶ τὸ πλεῖστον
ἐν τῷ Ἅδῃ.

Ἡ πατρὶς δὲ
βέρεθρον ἐόν,
ξείνη δὲ τ᾽ ὄνειδος.
Πάντα μόγος θνητοῖς
τἀνθάδε,
πάντα γέλως·

Ἡ πατρὶς δὲ
βάραθρον ἴδιον,
ἡ ξενιτεία δὲ ὄνειδος.
Πάντα μόχθος τοῖς ἀνθρώποις
τὰ ἐνταῦθα,
πάντα ἐμπαιγμός·

Χνοῦς, σκιά, φάσμα,
δρόσος, πνοιή,
πτερόν, ἀτμίς,
ὄνειρος,
Οἶδμα, ῥόος,
νηὸς ἴχνιον,
αὖρα, κόνις,

ῥιπιζόμενος χνοῦς, σκιὰ καὶ
φαντασία,
δρόσος, ἄνεμος,
πτερόν, ἀτμίς,
σπινθήρ, ἐνύπνιον,
κῦμα ῥεύματος,
πλοίου ἴχνος,
ἄνεμος, τέφρα,

Κύκλος ἀειδίνητος,
ὁμοΐια πάντα
κυλίνδων,
Ἑστηῶς, τροχάων,
λυόμενος, πάγιος,

τροχὸς ἀεὶ στρεφόμενος,
ὅμοια πάντα
κυλίνδροις,
ἑστώτων καὶ τρεχόντων,
λυόμενος, πεπηγώς,

Ὥραις, ἤμασι, νυξί,
πόνοις, θανάτοισιν,
ἀνίαις,
Τερπωλῇσι, νόσοις,

ὥραις, ἡμέραις, νυξί,
μόχθοις, θανάτοις,
λύπαις,
τέρψεσιν, ἀρρωστίαις,

---

1 δὲ] *om.* V^{O} **2** ἡ] *iterav.* P **4** θαλλασσοπλοῶν P, θαλασσοπλεων M **5** πλεῖστον] πλεῖστον τὸ πλέον *(*τὸ πλεον T, το πλεον M, τὸ πλεῖον $R^{a.\,c.}$, τὸ πλοῖον $R^{p.\,c.}$*)* V^{W} PM T R, πλέον $V^{E}V^{O}$ A^{I} **6** ἄδη P, άδη V^{E}, αδη M **9** δὲ²] *om.* V A^{I} PM T R **13** ῥιπιζόμενος] ῥαπιζόμενος $V^{E}V^{O}$ **13 – 14** καὶ φαντασία] *non liquent in* K **17** σπηνθήρ $V^{E\,a.\,c.}$, σπινθήρϊ V^{O} **18** κύμα T $V^{E\,a.\,c.}$ $V^{W}V^{O}$, κυμα PM **19** ἴχνους K **20** ἄνεμος] *om.* R **24** Ἑστηῶς] *correxi (ed.)*, ἕστη ὡς K **25** πεπηγός $V^{W\,p.\,c.}$ **26** ἤμασι] *correxi (ed.)*, εἴμασι K νυξί] νὺξ V^{O} **27 – 29** θανάτοις – τέρψεσιν] θάνατος· λύπη· τέρψις V^{O}

πτώμασιν,	πτώσεσιν (κακοπραγίαις),
εὐδρομίαις.	εὐπραγίαις.
Καὶ τόδε	Καὶ τοῦτο
σῆς, γενέτωρ,	τῆς σῆς, πάτερ,
σοφίης, λόγε,	σοφίας, λόγε,
ἀστατέοντα	ἀκαταστατοῦντα
Πάντα πέλειν,	πάντα ὑπάρχειν,
στασίμων	τῶν στασίμων
ὥς κεν ἔχοιμεν	ὅπως ἔχωμεν
ἔρον.	ἔρωτα (πόθον).
Πάντα νόου	Πάντα τοῦ νοῦ
πτερύγεσσιν	τοῖς πτεροῖς
ἐπέδραμον,	παρῆλθον,
ὅσσα παλαιά,	ὅσα ἀρχαῖα,
Ὅσσα νέα·	ὅσα νέα·
θνητῶν	τῶν ἀνθρωπίνων
δ᾽ οὐδὲν ἀκιδνότερον.	δὲ οὐδέν ἐστιν ἀσθενέστερον.
Ἓν μόνον ἀνθρώποισι	Ἓν μόνον τοῖς ἀνθρώποις
καλὸν	καλὸν
καὶ ἔμπεδόν ἐστι·	καὶ βέβαιόν ἐστι·
Ἔνθεν ἀφορμᾶσθαι,	ἐντεῦθεν ἀναχωρεῖν,
σταυρὸν	τὸν σταυρὸν
ἀειρομένους,	βαστάζοντας,
Δάκρυά τε	δάκρυά τε
στοναχαί τε, νοὸς	καὶ στεναγμοὺς καὶ νοῦν
θείῃσι μεμηλὼς	θείαις φροντίσαντα
Ἐλπίσι, καὶ τριάδος	ἐλπίσι καὶ τῇ τριάδι

1 κακοπραγίαις] κακοπραγίας P, *interpretatio esse videtur ab excerptore addita* **6 – 15** ἀκαταστατοῦντα – νέα] *om.* V A^{I} PM T R **9** ἔχοιμεν] *sic* K **10** πόθον] *vide l.* 1 **16** ἀνθρωπίνων] ἀνθρώπων K **18** μόνον[2]] *add.* καὶ V A^{I} **18 – 20** τοῖς – ἐστι] βέβαιόν ἐστι *(*βέβαιον ἐστὶ V^{E} A^{I} R, βέβαιον ἐστι P, βεβαιον ἔστι T, εστιν βεβαιον M*)* τοῖς ἀνθρώποις καλὸν V A^{I} PM T R **21** Ἔνθεν] ἐνθεῦθεν $K^{a.\ ras.}$ **22** τὸν σταυρὸν] *post* βαστάζοντας *transpos.* M **24** δάκρυά τε] δάκρυα δὲ T **26** θεῖ-αις P, θείας $V^{W\ a.\ c.}$ V^{O} φροντίσαντας K, φροντίζοντα R, φροντίσας τα V^{O}, φροντισεσιν τε καὶ M

λάμψις	λελαμπρυσμένον
ἐπουρανίης,	τῇ ἐπουρανίῳ,
Μιγνυμένης	τῇ μιγνυμένῃ
καθαροῖσι,	τοῖς καθαροῖς,
χοὸς λύσις	τοῦ πηλοῦ λύσιν
ἀφραδέοντος,	τοῦ μωραίνοντος,
Εἰκόνος ἀφθορίη,	τῆς εἰκόνος ἀφθορίαν,
τὴν λάχομεν	ἣν ἐλάβομεν
θεόθεν,	ἐκ θεοῦ·
Ζώειν τ᾽ ἀλλότριον	καὶ ζῆν ἀλλότριον
ζωῆς βίον,	τῆς ζωῆς βίον,
ἀντὶ δὲ κόσμου	ἀντὶ δὲ κόσμου
Κόσμον	κόσμον ἕτερον
ἀμειβομένους,	διαδεχομένους,
ἄχθεα πάντα φέρειν.	τὰ βάρη πάντα φέρειν.

II[1]167 / K cap. A 3, 50

Ἐκ τοῦ εἰς <έ>αυτόν, διὰ ἰάμβων·

Τέθνηκα τῷδε τῷ ταλαιπώρῳ βίῳ,
Ὃς φέρετ᾽ ἄνω κάτω τε, Εὐρίπου δίκην,
Βέβαιον οὐδὲν οὐδ᾽ ἐφ᾽ ἡμέραν φέρων.

18 – 20 II[1]167 GREGORIUS NAZIANZENUS, *Carmina*, II,1,77 *(Oratio ad Christum)*, 1–3 (PG 37, 1423, 12 – 1424, 2)

17 – 20 II[1]167 K cap. A 3, 50 (66r[5]6–8); V[E]V[O] cap. A 10, 47; V[W] cap. A 10, 40; A[I] cap. A 9, 47; P cap. A 43, 48; M cap. A 43, 46; T cap. A 65, 47; R cap. A 56, 39; *deest in* H[I (lac.)] L[b]; PG 95, 1124, 11–13

II[1]167 (a) K ἑαυτόν] *scripsi*, αὐτὸν *cod.* (b) Τοῦ αὐτοῦ, ἐκ τῶν Ἐπῶν V[E]V[O] A[I] M (c) Ἐκ τῶν Ἐπῶν P T R (d) Τοῦ αὐτοῦ V[W]

1 λελαμπρυσμένον] *scripsi*, λελαμπρυσμένος K V[E]V[O] A[I], λαμπρυνόμενον V[W] M T R, λαπροινόμενον *(sic)* P **2** ἐπουρανίης] *correxi (ed.)*, ἐπουρανίωι K **5 – 15** τοῦ – φέρειν[2]] *om.* V A[I] PM T R **5** λύσιν] *scripsi*, λύσις K **7** ἀφθορίη] *scripsi (ed.)*, ἀφθορίην K **18** βίον V[O] **19** Ὃς] ὡς PM T φέρεται V A[I] M R[p. c. ut videtur] κάτω τευρίππου K κάτω τε] καὶ κάτω V[E]V[O] A[I] εὐρίππου *(-ι- P)* V[W] PM R, εὐρίππον V[E], εὐρίπων V[O] **20** οὐδ᾽] οὐδὲ V A[I] ἐφ᾽ ἡμέραν] ἐφήμερον *(-μερον e corr.)* V[W]

II[1]168 / K cap. A 3, 51

Τοῦ αὐτοῦ, ἐκ τῶν Ἐπῶν·

Ὦ θνητοὶ
κενεαυχέες,
ὡς ἐτέον γε

Λεπταλέαις
αὔρῃσιν
ἐοικότες,
οἳ γενόμε<σ>θα.

Ὦ ἄνθρωποι
ματαιόκαυχοι,
ὡς ἀληθῶς

λεπταῖς
πνοαῖς
ἀφωμοιωμένοι,
ὅπερ καὶ γεγόναμεν.

II[1]169 / K cap. A 3, 52

Ἐκ τοῦ περὶ παρθενίας κεφαλαίου·

Ῥευστὸς γὰρ
ῥευστοῖο
διεκπεράας
βιότοιο

Βαιὸν ἐφαπτόμενός τε
παρατροχάων
τροχάοντος.

Ῥευστὸς καὶ ταχινὸς
διὰ ῥευστοῦ
ἐκπερᾷς
βίου,

ὀλίγον προσεγγίζων
παρατρέχων
παρατρέχοντα.

3 – 9 II[1]168 Gregorius Nazianzenus, *Carmina*, II,1,1 *(De rebus suis)*, 468–469 (ed. Tuilier/Bady, p. 32) **12 – 18 II[1]169** Gregorius Nazianzenus, *Carmina*, I,2,1 *(In laudem virginitatis)*, 444–445 (PG 37, 555, 12 – 556, 1)

2 – 9 II[1]168 K cap. A 3, 51 (66r[9]10–16); *deest in* V H[I (lac.)] A[I] PML[b] T R **11 – 18 II[1]169** K cap. A 3, 52 (66r[17]18–24); *deest in* V H[I (lac.)] A[I] PML[b] T R

7 αὔρῃσιν] *correxi (ed.)*, αὔρεσσιν K **8** ἀφωμοιωμένοι] *scripsi*, ἀφομοιωμένοι K **9** γενόμεσθα] *scripsi (ed.)*, γενόμεθα K

II[1]170 / K cap. A 3, 53

Ἐκ τοῦ <παρὰ> Νικοβο<ύ>λου πρὸς τὸν πατέρα κεφαλαίου, τῶν Ἐπῶν·

Ἐρρέτω,
ὅσσα φέρει
πικρὴ βιότοιο
θύελλα,

Τῇ καὶ τῇ
δονέουσα κόνιν
πάντεσσιν ἄπιστον.

Οἰμωζέτω,
ὁπόσα φέρει
ἡ πικρὰ τοῦ βίου
συστροφή,

ἐνταῦθα κἀκεῖ
κινοῦσα γῆν
τοῖς πᾶσιν ἄπιστον.

II[1]171 / K cap. A 3, 54

Ἐκ τῶν διστίχων Γνωμῶν·

Ὅστις ἀπερχομένοισι καὶ ἐρχομένοισι πέποιθεν,
Ῥεύματι πιστεύει οὔποτε ἱσταμένῳ.

4 – 10 II[1]170 Gregorius Nazianzenus, *Carmina*, II,2,4 *(Nicobuli filii ad patrem)*, 53–54 (ed. Moroni, p. 78) **13 – 14 II[1]171** Gregorius Nazianzenus, *Carmina*, I,2,31 *(Distichae sententiae)*, 11–12 (PG 37, 911, 9–10)

2 – 10 II[1]170 K cap. A 3, 53 (66v[1]2–8); *deest in* V H[I (lac.)] A[I] PML[b] T R **12 – 14 II[1]171** K cap. A 3, 54 (66v[9]10–11); *deest in* V H[I (lac.)] A[I] PML[b] T R

II[1]170 παρὰ] *supplevi (ed.)*, *om.* K νικοβόλου K κεφαλαίου] *scripsi*, κεφάλαιον K

II[1]172 / K cap. A 3, 55

Ἐκ τοῦ περὶ εὐτελείας τοῦ ἐκτὸς ἀνθρώπου, τῶν Ἐπῶν·

Οἴμμοι τοῦδε βίου
πήμασι μακροτέρου.

Μέχρι τίνος
κόπροισι παρέζομαι;
Ὡς ἅπαν ἐσθλὸν
Ζωῆς ἡμετέρης
δίστομός ἐστι χάρις,

Δέξασθαι, ῥίψαι τε
ἦμαρ ἐπ᾽ ἦμαρ.
Λαιμὸς βαιὸν ἔχει,
τἄλλα δὲ πάντ᾽ ἀμάρη.

Οἴμμοι τούτου τοῦ βίου
βλάβαις ἐπιμηκεστέρου.

Ἕως τίνος
κόπρῳ παρακαθέζομαι;
Ὡς ἅπαν ἀγαθὸν
ζωῆς τῆς ἡμετέρας
διπλῆ ἐστι χάρις,

Δέξασθαι καὶ ῥίψαι
ἡμέραν ἐφ᾽ ἡμέραν.
Ἡ γεῦσις βραχύ τι ἔχει,
τὰ ἄλλα δὲ πάντα †μικρά†.

---

3 – 13 **II[1]172** Gregorius Nazianzenus, *Carmina*, I,2,15 *(De exterioris hominis vilitate)*, 120–124 (PG 37, 774, 15 – 775, 4)

---

2 – 13 **II[1]172** K cap. A 3, 55 (66v[12]13–23) *(Versio primitiva et paraphrasis)*; V cap. A 10, 50; A[I] cap. A 9, 50 *(Versio primitiva deest in* V A[I]*)*; *deest in* H[I (lac.)] PML[b] T R; PG 95, 1125, 1–2

II[1]172 (a) K (b) Τοῦ αὐτοῦ V[E]V[O] A[I] (c) *s. a.* V[W]

---

3 Οἴμμοι[2]] οἴμοι V[E p. c. ut videtur] V[W]V[O] A[I], οἶμοι V[E a. c.] **4** βλάβαις] *praem.* ταῖς V[E p. c.] ἐπιμηκεστέρου] ἐπικεστέρου V[E a. c.] V[W]V[O], τοῦ ἐπιεικεστέρου V[E p. c.], ἐπϊεικεστέρου A[I] **6** παρέζομαι] *correxi*, παρέξομαι K *(= ed.)* **7 – 13** Ὡς[2] – †μικρά†] *om.* V A[I] **13** πάντ᾽ ἀμάρη] *scripsi (ed.)*, πάνταμάρη K, *fortasse legendum* πάντα μάρη †μικρά†] *cruces apposui*, *an legendum* πικρά *vel* μιαρά*?*, *aegre liquet in* K[p. c.]

II[1]173 / K cap. A 3, 56

Ἐκ τῶν αὐτῶν·

Τίς βίος;
Ἐκ τύμβοιο θορὼν
ἐπὶ τύμβον
ὁδεύω,
Ἐκ δὲ τάφοιο
πυρὶ θάψομ᾽
ἀπηλεγέως.

Αὐτὸ δ᾽ ὅσον
πνείω
ποταμοῦ ῥόος
ὤκα θέοντος,
Αἰὲν ἀπερχομένου
ἐρχομένου
τ᾽ ὄπισθεν,

Ἑσταὸς
οὐδὲν ἔχοντος·
ὅλον κόνις,

[Τίς βίος] Ποία ζωή;
ἐκ τάφου πηδήσας
ἐπὶ τάφον πάλιν
ὁδεύω,
ἐκ δὲ τοῦ τάφου πάλιν
ἐν πυρὶ θάπτομαι
ἀποτόμως.

Αὐτὸ δὲ τοῦτο ὅσον
ἀναπνέω
ποταμοῦ ἐστι ῥοῦς
ταχέως τρέχοντος,
ἀεὶ ἀπερχομένου
καὶ ἐρχομένου
ἐκ τῶν ὀπίσω πάλιν,

βέβαιον
μηδὲν ἔχοντος,
ὅλον κόνις

---

3 – 162, 4 II[1]173 Τίς[1] – φαέων] GREGORIUS NAZIANZENUS, *Carmina*, I,2,15 *(De exterioris hominis vilitate)*, 133–138 (PG 37, 775, 13 – 776, 5)

---

2 – 162, 22 II[1]173 K cap. A 3, 56 (66v[24]67r1–67v15) *(Versio primitiva et paraphrasis)*; V cap. A 10, 51–52; A[I] cap. A 9, 51–52; P cap. A 43, 57; M cap. A 43, 54; T cap. A 65, 56; R cap. A 56, 41 *(Versio primitiva deest in* V A[I] PM T R*)*; *deest in* H[I (lac.)] L[b]; PG 95, 1125, 3–10

II[1]173 (a) K (b) Τοῦ αὐτοῦ / *s. a.* V[O] *(cf. infra, app. crit. text.)* (c) *s. d.* / Τοῦ αὐτοῦ A[I] *(cf. infra, app. crit. text.)* (d) *s. a.* / *s. a.* V[E]V[W] *(cf. infra, app. crit. text.)* (e) *s. d.* PM T R

---

3 Τίς βίος] *seclusi* **4** θορὼν] *scripsi*, θορῶν K τάφου] *praem.* τοῦ PM T R πηδήσας] πηδᾶς V[W] **5** τάφον] *praem.* τον M **6** ὁδεύω[2]] ὀδεύω V[E], ὁδεύων V[W]V[O] **7** τοῦ] *om.* K **8** θάπτομαι] κάμπομαι *(sic)* A[I] **11** ἀναπνέω] πνέω K **12** ῥόος] *scripsi*, ῥοὸς K **13** ταχέως] *om.* V A[I] PM T R **13 – 14** τρέχοντος – ἀπερχομένου[2]] τρέχοντος ἀεὶ· ἀπερχομένου R **16 – 18** ὀπίσω – μηδὲν] ὀπίσω· πάλιν βέβαιον μηδὲν V[E]V[O] P, ὀπίσω πάλιν βέβαιον μηδὲν K T, ὀπίσω· πάλιν μηδὲν βέβαιον V[W] **18** μηδὲν] *iterav.* K, οὐδὲν R ἔχοντος[2]] *add.* ἢ *(*ἡ PM T*)* φέροντος *(*φερ- M*)* V A[I] PM T R **19** ὅλον[2]] ὅσον *(*ὁ- M*)* V A[I] PM T R

ὄμματ᾽ ἐμεῖο
Βάλλουσ᾽, ὥς κε
θεοῦ τῆλε πέσω
φαέων.

Τολμήσω τινὰ
μῦθον ἐτήτυμον,
ὥς ῥα θεοῖο
Παίγνιόν ἐστι
βροτὸς τῶν ἕν,
ὅσα πτολίων.

Ἄλλο πρόσωπον
ὕπερθεν, ὃ χεὶρ κάμεν·
ἢν δ᾽ ἄρ᾽ ἀερθῇ,
Ἄζομαι, ἐξαπίνης
ἐξεφάνην
ἕτερος.

Τοῖος ἅπας μερόπων
δειλῶν βίος,
οἷσι μέμηλεν
Ἐλπὶς ὀνειραίη·
ταῦτ᾽ ἔχετ᾽
εἰς ὀλίγον.

ὀφθαλμοῖς ἐμοῖς
†ἐπιπάσσοντος†, ὅπως ἂν
τοῦ θεοῦ πόρρω πέσω
τῶν φώτων.

Τολμήσω τινὰ
λόγον ἀληθῆ εἰπεῖν,
ὡς ἄρα τοῦ θεοῦ
παίγνιόν ἐστιν
ὁ ἄνθρωπος τούτων ἕν,
ὅσα τῶν πόλεων.

Ἄλλο πρόσωπον
ἄνωθεν, ὅπερ χεὶρ ἔκαμεν·
ἐὰν δὲ ἄρα κουφισθῇ,
ἐντρέπομαι, ἐξαπίνης
ἐφάνην
ἄλλος.

Τοιοῦτος ὅλος τῶν ἀνθρώπων
τῶν ἀθλίων ὁ βίος,
οἷστισι μέλει
ἐλπὶς τοῦ βίου ὀνειρώδης·
ταῦτα ἔχετε
εἰς ὀλίγον.

5 – 22 Τολμήσω[1] – ὀλίγον[1]] GREGORIUS NAZIANZENUS, *Carmina*, I,2,15 *(De exterioris hominis vilitate)*, 141–146 (PG 37, 776, 8–13)

1 ἐμοῖς] *iterav.* V$^{E\ a.\ ras.}$, *om.* V^{O} **2** Βάλλουσ᾽] *correxi (ed.)*, βάλλουσιν K †ἐπιπάσσοντος†] *cruces apposui, sic* K V A^{I} PM$^{p.\ c.}$ T R, ἐπιπάσοντος M$^{a.\ c.}$ **3** πέσω[2]] *hic caesura in* V **4 – 7** τῶν – θεοῦ] *om.* V A^{I} PM T R **7** ἄρα] *scripsi*, ἄρα K **9** τῶν] *correxi (ed.)*, τὸ K **9 – 22** τούτων – ὀλίγον[2]] *om.* V A^{I} PM T R **13** ἢν] *scripsi (ed.)*, ἦν K ἄρ᾽] *scripsi (ed.)*, ἄρ᾽ K ἄρα] *scripsi*, ἄρα K

II[1]174 / K cap. A 3, 57

Ἐκ τῶν αὐτῶν·

Ἀλλήλους μὲν	Ἀλλήλους μὲν
ἐγώ τε καὶ ὁ χρόνος	καὶ ἐγὼ καὶ ὁ χρόνος
ὡς πετεινὰ	ὡς ὄρνεις
Ἢ νῆες ἐν πελάγει	ἢ ὡς πλοῖα ἐν πελάγει
ἀντιπαρερχόμεθα,	ἀντιπαρατρέχομεν,
Ἑσταὸς οὐδὲν ἔχοντες·	βέβαιον οὐδὲν ἔχοντες·
ὅ δ᾽ ἥμπλακον,	ὅπερ δὲ ἥμαρτον,
οὐ παραθρέξει,	οὐ παρατρέχει,
Ἀλλὰ μένει ζωῆς	ἀλλὰ παραμένει τῇ ζωῇ
τοῦτο μογηρότατον.	τοῦτο τὸ μοχθηρότατον.
Οὐδ᾽ ὅπερ εὔχομ᾽	Οὐδὲ τοῦτο, ὅπερ εὔχομαι,
ἔχω, ζῆσαι πλέον	ἐπίσταμαι, ζῆσαι πλέον
ἢ λυθῆναι·	ἢ ἀποθανεῖν·
Τάρβος ἐπ᾽ ἀμφοτέροις·	φόβος ἐπὶ τοῖς δύο·
ὧδε δὲ φράζεό μοι.	οὕτως δὲ βουλεύου μοι.
Ζωή μοι πολύμοχθος	Ἡ ζωή μοι μοχθηρὰ
ἁμαρτάσιν·	ταῖς ἁμαρτίαις·
εἰ δὲ θάνοιμι,	εἰ δὲ ἀποθάνοιμι,
Αἳ αἳ τῶν προτέρων	ὢ ὢ τῶν πρὶν
οὐδὲν ἄκος	οὐδεμία θεραπεία
παθέων.	τῶν παθῶν.
Εἰ ζωὴ τόδε σοι	Εἴπερ ἡ ζωὴ τοῦτό σοι

3 – 164, 10 II[1]174 Gregorius Nazianzenus, *Carmina*, I,2,13 *(De naturae humanae fragilitate)*, 1–12 (PG 37, 754, 12 – 755, 10)

2 – 164, 10 II[1]174 K cap. A 3, 57 (67v[15]16–68r23) *(Versio primitiva et paraphrasis)*; V cap. A 10, 53; A[I] cap. A 9, 53; P cap. A 43, 58; M cap. A 43, 55; T cap. A 65, 57; R cap. A 56, 42 *(Versio primitiva deest in* V A[I] PM T R*)*; *deest in* H[I (lac.)] L[b]; PG 95, 1125, 11–14

II[1]174 (a) K (b) *s. a.* V[E]V[O] A[I] (c) *s. d.* V[W] PM T R

5 ορνεις M, ὄρνις V[E]V[O] A[I], ὄρνεα K **6** πλοῖον V[E] **8** ἔχοντες[1]] *correxi (ed.)*, ἔχοντος K **9** ὅ δ᾽] *correxi (ed.)*, οὐδ᾽ K[a. c. ut videtur], οὔδ᾽ K[p. c. ut videtur] ὅπερ] ὥσπερ V[E]V[O] P[a. c. ut videtur] **12 – 164, 10** τοῦτο[2] – πραότητα] *om.* V A[I] PM T R

τεκμαίρεται,
ἧς τόσον ἄχθος,
Οὐδὲ τὸ λυθῆναι
λύσιν ἔχει καμάτων,

σημειοῦται,
ἧς τοσοῦτον βάρος,
οὐδὲ τὸ ἀποθανεῖν
λύσιν φέρει τῶν μόχθων,

Κρημνὸς
δ᾽ ἀμφοτέρωθε,
Τί ῥέξομεν;
Ἢ τόδ᾽ ἄριστον,
Λεύσσειν πρὸς σέ μόνον
σήν τ᾽ ἀγανοφροσύνην.

κατάκρημνος δὲ
ἑκατέρωθεν,
τί πράξομεν;
Ἢ τοῦτο κάλλιον,
βλέπειν πρός σε μόνον
καὶ τὴν σὴν πραότητα.

II[1]175 / K cap. A 3, 58

Τοῦ ἁγίου Γρηγορίου Νύσης, ἐκ τῶν κατὰ Εὐνομίου·

Τὸ μὴ κυρίως ὂν οὐδέ ἐστι ὅλως.

II[1]176 / K cap. A 3, 59

Ἐκ τῶν εἰς τοὺς μακαρισμούς·

Ὁ περίγειος χῶρος τῶν τρεπομένων καὶ ἀλλοιουμένων ἐστίν.

13 II[1]175 GREGORIUS NYSSENUS, *Contra Eunomium*, III, tom. VIII, 33 (ed. Jaeger, p. 251, 4–5) **16 II[1]176** GREGORIUS NYSSENUS, *De beatitudinibus*, VIII (ed. Callahan, p. 162, 9–10)

12 – 13 II[1]175 K cap. A 3, 58 (68v[1]2); *deest in* V H$^{I\,(lac.)}$ A^{I} PML^{b} T R **15 – 16 II[1]176** K cap. A 3, 59 (68v[2]3); V cap. A 10, 54; A^{I} cap. A 9, 54; P cap. A 43, 59; M cap. A 43, 56; T cap. A 65, 58; R cap. A 56, 43; *deest in* H$^{I\,(lac.)}$ L^{b}; PG 95, 1125, 15–16

II[1]176 (a) K PM τῶν] τοῦ PM (b) Τοῦ ἁγίου Γρηγορίου τοῦ Νύσσης, ἐκ τοῦ εἰς τοὺς μακαρισμούς R (c) Τοῦ αὐτοῦ, ἐκ τοῦ εἰς τοὺς Μακαβαίους T (d) Τοῦ Νύσης V^{E}V^{O} Τοῦ] τῆς V^{O} (e) Τοῦ αὐτοῦ V^{W} (f) *non liquet in* A^{I}

1 τεκμαίρεται] *scripsi*, τεκμήρεται K **4** λύσιν[2]] *scripsi*, λῦσιν K **16** χῶρος] κόσμος R καὶ ἀλλοιουμένων] *om.* K

II¹177 / K cap. A 3, 60

Τοῦ μακαρίου Ἰωάννου Κωνσταντινουπόλεως, ἐκ τοῦ εἰς τὸν λη′ ψαλμόν·

Ταράσσεται ἄνθρωπος, καὶ τὸ τέλος ἀπόλλυται· ταράσσεται καὶ ὡς μὴ γενόμενος ἀφανίζεται· ταράσσεται, καὶ πρὶν καταστῆναι καταποθεῖται. Ὡς πῦρ ἀνακαίεται καὶ ὡς καλάμη ἀποτεφροῦται· ὡς θύελλα ὑπεραίρεται καὶ ὡς κόνις ἐξαφανίζεται· ὡς φλὸξ ἀναρριπίζεται καὶ ὡς καπνὸς διαλύεται· ὡς ἄνθος ὡραΐζεται καὶ ὡς χόρτος ξηραίνεται· ὡς νέφος ὑπεραπλοῦται καὶ ὡς σταγὼν ἀπομειοῦται· ὡς πομφόλυξ ὀγκοῦται καὶ ὡς σπινθὴρ ἀποσβέννυται. Ταράσσεται, καὶ τοῦ πλούτου μόνον τὸν βόρβορον ἀποφέρεται. Ταράσσεται, καὶ κερδανεῖ αὐτὴν τὴν δυσωδίαν. Ταράσσεται, καὶ τῶν ἀπὸ τῆς ταραχῆς οὐδὲν λαμβάνων ἀπέρχεται. Αὐτοῦ αἱ ταραχαί, καὶ ἄλλων αἱ τρυφαί· αὐτοῦ οἱ πόνοι, καὶ ἄλλων οἱ θησαυροί· αὐτοῦ αἱ φροντίδες, καὶ ἄλλων αἱ εὐφροσύναι· αὐτοῦ αἱ θλίψεις, καὶ ἄλλων αἱ ἀπολαύσεις· αὐτοῦ αἱ ἁρπαγαί, καὶ ἄλλων αἱ ἡδοναί· αὐτοῦ αἱ κατάραι, καὶ ἄλλων αἱ θεραπεῖαι· κατ᾽ αὐτοῦ οἱ στεναγμοί, καὶ παρ᾽ ἑτέροις οἱ πλεονασμοί· κατ᾽ αὐτοῦ τὰ δάκρυα, καὶ

4 Ps. 38, 7²

4 – 166, 28 II¹177 (Ps.-)Iohannes Chrysostomus, *In illud:* Verumtamen frustra conturbatur *(Ps. 38, 7)*, 1 (PG 55, 559, 16 – 560, 14)

2 – 166, 28 II¹177 K cap. A 3, 60 (68v[4]5–69v11); V^{E}V^{O} cap. A 10, 56; V^{W} cap. A 10, 44–45; H^{I} cap. A 9, 2; P cap. A 43, 52; M cap. A 43, 49; T cap. A 65, 51; R cap. A 56, 46; *deest in* L^{b}; PG 95, 1132, 3 – 1133, 1

II¹177 (a) K (b) Τοῦ Χρυσοστόμου, εἰς τὸν λη′ ψαλμόν V^{E}V^{O} H^{I} λη′] τριακοστὸν ὄγδοον H^{I} (c) Τοῦ αὐτοῦ, ἐκ τοῦ εἰς τὸν λη′ ψαλμόν PM T R ἐκ τοῦ] *om.* PM (d) Τοῦ αὐτοῦ / Τοῦ αὐτοῦ V^{W} *(cf. infra, app. crit. text.)*

4 Ταράσσεται] *om.* R ἀπολλυεται M καὶ²] *om.* V^{O} **5** κατασταθηναι M **6** καταποθεῖται] καταποντίζεται V^{E} H^{I}, κατὰποντίζεται V^{O} καίεται V$^{W\ p.\ ras.}$ PM T R **7** ἀφανίζεται V^{W} **7 – 8** ἀναρριπίζεται] ἀναρπάζεται P **8** καὶ¹ – διαλύεται] *om.* H^{I} *(in mg. supplev.)* διαλύεται – ἄνθος] *om.* R **8 – 9** καὶ² – ξηραίνεται] *om.* R **10** πομφόλις V^{O} ὡσπινθὴρ V^{E}V^{O} M **11** μόνον] *post* βόρβορον *transpos.* K, μόνου V^{W} ἀποφερεῖται K **12 – 166, 28** Ταράσσεται – ζῶν] *om.* PM T R **12** καὶ¹ – αὐτὴν] κερδᾶναι V H^{I} **13** λαμβάνει V^{O} ἀπέρχεται] *hic caesura in* V^{W} **14** πόνοι] *add.* καὶ ἄλλων αἱ τρϋφαί· αὐτοῦ οἱ πόνοι V^{O} **16** ἁρπαγαὶ V^{E}, ἁπαγαὶ V^{O} **17** κατ᾽ αὐτοῦ] παρ᾽ αὐτῷ *ed.* οἱ] αἱ V^{O} **18** κατ᾽ αὐτοῦ] παρ᾽ αὐτῷ *ed.* τὰ] *om.* K

παρ᾽ ἑτέροις τὰ χρήματα· αὐτὸς ἐν Ἅδῃ κολάζεται, καὶ ἄλλοι πολλάκις ἐν τοῖς αὐτοῦ τρυφῶντες ψάλλουσιν. *Πλὴν μάτην ταράσσεται πᾶς ἄνθρωπος ζῶν.*

Ἄνθρωπος, τὸ τῆς ζωῆς πρόσκαιρον δάνεισμα, τὸ τοῦ θανάτου ἀνυπέρθετον ὄφλημα, τὸ ἐκ προαιρέσεως ἀδάμαστον ζῶον, τὸ αὐτοδίδακτον πονήρευμα, τὸ αὐτομαθὲς ἐπιβούλευμα, τὸ εὔτεχνον εἰς κακουργίαν, τὸ εὐμήχανον εἰς ἀδικίαν, τὸ ἕτοιμον εἰς πλεονεξίαν, τὸ ἀκόρεστον εἰς ἁπληστίαν, τὸ ὑπέρκομπον πνεῦμα, τὸ μεγαλόρημον θράσος, τὸ εὐδιάλυτον φρύαγμα, τὸ εὐάλωτον τόλμημα, ὁ πηλὸς ὁ αὐθάδης, ἡ κόνις ἡ μεγαλόφρων, ἡ σποδὸς ἡ πεφυσημένη, ὁ σπινθὴρ ὁ εὐκατάσβεστος, ἡ φλὸξ ἡ εὐμάραντος, ὁ εὐρίπιστος λύχνος, τὸ ἑτοιμόφθορον φύλλον, ὁ εὐξήραντος χόρτος, ἡ εὐνέκρωτος χλόη, ἡ ἀειδαπάνητος φύσις· ὁ σήμερον ἀπειλῶν καὶ αὔριον τελευτῶν, ὁ σήμερον ἐν πλούτῳ καὶ αὔριον ἐν τάφῳ, ὁ σήμερον ἐν διαδήματι καὶ αὔριον ἐν μνήματι, ὁ σήμερον ἐν πορφύρᾳ καὶ αὔριον ἐν ἐκφορᾷ, ὁ σήμερον ἐν κόλαξι καὶ αὔριον ἐν σκώληξιν, ὁ σήμερον ἐν θησαυροῖς καὶ αὔριον ἐν σοροῖς, ὁ σήμερον ὢν καὶ αὔριον μὴ ὤν, ὁ ἄρτι φρυαττόμενος καὶ μετ᾽ ὀλίγον θρηνούμενος, ὁ ἐν εὐπραγίαις ἀφόρητος καὶ ἐν δυσπραγίαις ἀπαραμύθητος, ὁ ἑαυτὸν ἀγνοῶν καὶ τὰ ὑπὲρ αὐτὸν πολυπραγμονῶν, ὁ τὸ παρὸν οὐκ εἰδὼς καὶ περὶ τῶν μελλόντων φανταζόμενος, ὁ φύσει θνητὸς καὶ τῇ ἐπάρσει, ὡς νομίζει, αἰώνιος, τὸ παντὸς πάθους εὐδιάβατον καταγώγιον, τὸ τῶν πυρετῶν ἀδιάφορον παίγνιον, τὸ τῶν συμφορῶν καθημερινὸν γυμνάσιον, τὸ πάσης λύπης εὐπαράδεκτον πανδοχεῖον. Ὢ πόση τῆς ἡμετέρας εὐτελείας ἡ τραγωδία. Πόσος τῆς ἀνθρωπίνης ἀσθενείας ὁ θρίαμβος; Ὢ πόσα εἰπών, τῆς προφητικῆς φωνῆς οὐδὲν ἁρμοδιώτερον εὗρον τῆς λεγούσης· *Πλὴν μάτην ταράσσεται πᾶς ἄνθρωπος ζῶν.*

---

2 – 3 Πλὴν – ταράσσεται] Ps. 38, 7[2] **3** πᾶς – ζῶν] Ibid. 38, 6[3] **28** Πλὴν – ταράσσεται] Ibid. 38, 7[2] πᾶς – ζῶν] Ibid. 38, 6[3]

---

1 ἄλλος K **2** τρυφῶντες ψάλλουσιν] κατατρυφᾶ K ψάλλωσιν V^{W} **4 – 28** Ἄνθρωπος – ζῶν] *om.* V^{W} **9** μεγαλόρρημον $V^{E\,p.\,c.}$ εὐδιάλϋκτον V^{O} **12** ἑτοιμοφθόρον K **15** ὁ[1] – μνήματι] *post* ἐκφορᾷ *transpos.* V^{E} **15 – 16** ὁ[2] – ἐκφορᾷ] *om.* V^{O} **16 – 17** ὁ – σκώληξιν] *om.* K **17** σωροῖς K $V^{E}V^{O}$ **18** μὴ] μηδὲν K **20** αὐτὸν] αὐτῶν $V^{E\,a.\,c.}$ V^{O}, ἑαυτόν K **23** πάθος K τὸ] *s. l.* K **24** καθήμερινῶν K V^{O} **25** Ὢ] ὦ $V^{E\,a.\,c.}$ V^{O} **26** θρῖαβος V^{O} Ὢ] ὦ K **28** ταράσσεται] *post* ζῶν *transpos.* V^{E}

II¹178 / K cap. A 3, 61

Τοῦ αὐτοῦ·

Νεκρῶν ἀχρηστότερα τὰ λαμπρὰ τοῦ παρόντος βίου.

II¹179 / K cap. A 3, 62

Τοῦ αὐτοῦ, ἐκ τοῦ περὶ μετανοίας λόγου·

Τὰ παρόντα πάντα ἀράχνης ἐστὶν ἀδρανέστερα, καὶ ὀνείρων ἀπατηλότερα· καὶ γὰρ καὶ τὰ ἀγαθὰ καὶ τὰ κακὰ τέλος ἔχει.

II¹180 / K cap. A 3, 63

Ἐκ τοῦ αὐτοῦ·

Εἰδότες, ἀγαπητοί, ὡς ὄναρ τὰ παρόντα, καὶ ὡς πανδοχεῖον οἰ-

---

3 exstat etiam ap. Ps.-Max. Conf., *Loci communes*, 60.8./67.10. (ed. Ihm, p. 911)

---

3 II¹178 Iohannes Chrysostomus, *Ad populum Antiochenum*, XV *(In calamitatem civitatis Antiochiae)*, 3 (PG 49, 157, 26–27) **6 – 7 II¹179** Τὰ – ἀπατηλότερα] Iohannes Chrysostomus, *De paenitentia*, locus non repertus, re vera (Ps.-)Iohannes IV Ieiunator, *Sermo de paenitentia et continentia et virginitate* (PG 88, 1948, 53–54) **7** καὶ¹ – ἔχει] Ibid. (PG 88, 1952, 57 – 1953, 1) **10 – 168, 3 II¹180** Iohannes Chrysostomus, locus non repertus (deest apud Haidacher)

---

2 – 3 II¹178 K cap. A 3, 61 (69v[11]12); V^{E} cap. A 10, 58; V^{W} cap. A 10, 46; V^{O} cap. A 10, 57; H^{I} cap. A 9, 3; P cap. A 43, 53; M cap. A 43, 50; T cap. A 65, 52; R cap. A 56, 47; E cap. 152, 255; *deest in* L^{b}; PG 95, 1133, 1–2 **5 – 7 II¹179** K cap. A 3, 62 (69v[13]14–16); V^{E} cap. A 10, 57; V^{W} cap. A 10, 47; V^{O} cap. A 10, 58; H^{I} cap. A 9, 4; P cap. A 43, 54; M cap. A 43, 51; T cap. A 65, 53; R cap. A 56, 48; *deest in* L^{b}; PG 95, 1133, 3–5 **9 – 168, 3 II¹180** K cap. A 3, 63 (69v[16]17–19); V^{E}V^{O} cap. A 10, 59; V^{W} cap. A 10, 48; H^{I} cap. A 9, 5; P cap. A 43, 55; M cap. A 43, 52; T cap. A 65, 54; R cap. A 56, 49; *deest in* L^{b}; PG 95, 1133, 5–9

II¹178 (a) K V^{W} (b) Τοῦ αὐτοῦ, ἐκ τοῦ περὶ μετανοίας PM T R Τοῦ αὐτοῦ] *om.* PM (c) *s. a.* V^{E}V^{O} H^{I} (d) Χρυσοστόμου E **II¹179** (a) K (b) Τοῦ αὐτοῦ, περὶ μετανοίας V^{E}V^{O} H^{I} μετανοίας] *add.* θ V^{O} (c) *s. a.* V^{W} (d) *s. d.* PM T R **II¹180** (a) K V^{W} Ἐκ] *om.* V^{W} (b) *s. a.* V^{E}V^{O} H^{I} PM T (c) *s. d.* R

---

3 νεκρὸν ἀχρηστότερο *(sic)* καὶ V^{O} **7** καὶ²] *iterav.* R, *om.* K M$^{p. ras.}$ **10** Εἰδότες] *add.* οὖν R ἀγαπητοί] ἀδελφοὶ K

κοῦμεν, ὡς διαπαντὸς ἐξερχόμενοι, φροντίσωμεν τῆς ὁδοῦ, καὶ τὰ ἐφόδια τῆς αἰωνίου ζωῆς ἐπαγάγωμεν· ἐνδυσώμεθα ἱμάτια τὰ μεθ' ἡμῶν ἀπερχόμενα.

II[1]181 / K cap. A 3, 64

Ἐκ τοῦ αὐτοῦ·

Ὥσπερ τῆς ἰδίας σκιᾶς οὐκ ἔστιν ἐπιλαβέσθαι, οὕτως οὐδὲ τῶν ἀνθρωπίνων πραγμάτων· τὰ μὲν γὰρ τῇ τελευτῇ καταλύεται, τὰ δὲ πρὸ τῆς τελευτῆς, καὶ παντὸς χειμάρρου ὀξυρρεπέστερον παράγει. Τὰ δὲ μέλλοντα οὐκ οἶδε μεταβολήν, οὐκ ἐπίσταται γῆρας, οὐκ ἔχει τινὰ ἀλλοίωσιν, ἀλλ' ἀνθεῖ διηνεκῶς καὶ ἐν ποικίλαις εὐπραγίαις διαμένει. Μὴ θαυμάσῃς χρήματα τὰ μὴ παραμένοντα τοῖς κεκτημένοις, ἀλλ' ἀμείβοντα τοὺς δεσπότας, καὶ ἀπὸ τούτου ἀποπηδῶντα εἰς ἕτερον καὶ πάλιν ἀπ' ἐκείνου πρὸς ἄλλον. Τούτων πάντων δεῖ καταπτύειν· ἀρκεῖ γὰρ ἀκοῦσαι καὶ μόνον τοῦ λέγοντος· *Τὰ βλεπόμενα πρόσκαιρα, τὰ δὲ μὴ βλεπόμενα αἰώνια.*

15 II Cor. 4, 18 Τὰ – αἰώνια] bis adferuntur in Ioh. Chrys., *De resurrectione mortuorum*, 4 (PG 50, 424, 42–43 et 425, 13–14)

6 – 13 **II[1]181** Ὥσπερ – ἄλλον] Iohannes Chrysostomus, *De resurrectione mortuorum*, 5 (PG 50, 426, 33–48) **13 – 15** Τούτων – αἰώνια] locus non repertus

5 – 15 **II[1]181** K cap. A 3, 64 (69v[19]20–24); V^E cap. A 10, 60; V^O cap. A 10, 60; H^I cap. A 9, 6; *deest in* V^W PML^b T R; PG 95, 1133, 9–22

II[1]181 (a) K (b) *s. a.* V^EV^O (c) *s. d.* H^I

1 – 3 καὶ – ἀπερχόμενα] *om.* K **2** αἰωνίου] οὐρανίου R ἐπάγομεν V^W τὰ] *om.* T **8** χειμάρροῦς $H^{I\ ut\ videtur}$ ὀξυρεπέστερον V^E H^I, ὀξυπέστερον $V^{O\ a.\ c.}$ **8 – 9** παράγει] καταρρεῖ K **9 – 15** Τὰ – αἰώνια] *om.* K **9** μεταβολῆ V^O **11** διαμένει] διαβένει H^I **13** ἀποπηδόντα V H^I

$II^1$182 / K cap. A 3, 65

Τοῦ Χρυσοστόμου, ἐκ τοῦ εἰς Εὐτρόπιον·

Ἀεί, μάλιστα δὲ νῦν εὔκαιρον εἰπεῖν· *Ματαιότης ματαιοτήτων, τὰ πάντα ματαιότης*. Ποῦ νῦν ἡ λαμπρὰ τῆς ὑπατείας περιβολή; Ποῦ δὲ αἱ φαιδραὶ λαμπάδες; Ποῦ δὲ οἱ κρότοι καὶ οἱ χοροὶ καὶ αἱ θαλίαι καὶ αἱ πανηγύρεις; Ποῦ δὲ οἱ στέφανοι καὶ τὰ παραπετάσματα; Ποῦ δὲ τῆς πόλεως ὁ θόρυβος καὶ αἱ ἐν ἱπποδρομίαις εὐφημίαι καὶ τῶν θεάτρων αἱ κολακεῖαι; Πάντα ἐκεῖνα οἴχεται, καὶ ἄνεμος πνεύσας ἀθρόως τὰ μὲν φύλλα κατέβαλεν, γυμνὸν δὲ ἡμῖν τὸ δένδρον ἀπέδειξεν καὶ ἀπὸ τῆς ῥίζης αὐτῆς λοιπὸν σαλευόμενον. Τοιαύτη γὰρ ἡ τοῦ πνεύματος προσβολή, ὡς καὶ πρόρριζον ἀπειλεῖν ἀνασπᾶν καὶ αὐτὰ διασαλεῦσαι τοῦ δένδρου τὰ νεῦρα. Ποῦ νῦν οἱ πεπλασμένοι φίλοι; Ποῦ δὲ τὰ προσωπεῖα τῶν κολάκων; Ποῦ τὰ συμπόσια καὶ τὰ δεῖπνα καὶ ὁ τῶν παρασίτων ἐσμὸς καὶ ὁ

3 – 4 Eccle. 1, 2^2

3 – 173, 28 **$II^1$182** ***Versio*** **V H^IA^I PM T R** IOHANNES CHRYSOSTOMUS, *In Eutropium*, 1–4 (PG 52, 391, 1 – 395, 13, quibusdam omissis)

2 – 174, 5 **$II^1$182** K cap. A 3, 65 (69v[24]70r1–7); V^EV^O cap. A 10, 55; H^I cap. A 9, 1; A^I cap. A 9, 55; P cap. A 43, 49–51; M cap. A 43, 47–48; V^W cap. A 10, 41–43; T cap. A 65, 48–50; R cap. A 56, 44–45; *deest in* L^b; PG 95, 1125, 17 – 1132, 2

$II^1$182 (a) Τοῦ Χρυσοστόμου, ἐκ τοῦ εἰς Εὐτρόπιον / Καὶ μετ᾽ ὀλίγα / Καὶ μεθ᾽ ἕτερα P T *(cf. infra, app. crit. text.)* ἐκ τοῦ] *om.* P εὐτρόπιον T (b) Τοῦ Χρυσοστόμου, εἰς Εὐτρόπιον *(*ευτρο- *cod.)* / Καὶ μεθ᾽ ἕτερα M *(cf. infra, app. crit. text.)* (c) Τοῦ Χρυσοστόμου, ἐκ τοῦ κατὰ Εὐτροπίου / Καὶ μεθ᾽ ἕτερα R *(cf. infra, app. crit. text.)* (d) Τοῦ Χρυσοστόμου V^EV^O (e) Χρυσοστόμου / Τοῦ αὐτοῦ / Τοῦ αὐτοῦ V^W *(cf. infra, app. crit. text.)* (f) Ἐκ τοῦ εἰς Εὐτρόπιον K (g) *non liquet in* A^I, *deest in* $H^{I\,(lac.)}$

3 – 173, 28 Ἀεί – αὐτοῦ] *Versio* V H^IA^I PM T R **3 – 172, 20** Ἀεί – δοξάζειν] *desunt in* $H^{I\,(lac.)}$ **4** Ποῦ[1]] *in mg.* V^W P νῦν] *om.* V^EV^O A^I M περιβολή] φανῆς περϊβολῆς $V^{O\,a.\,c.}$, περϊβολῆς $V^{O\,p.\,c.}$ **5** αἱ[1] – λαμπάδες] ἡ φαιδρὰ λαμπαδ′ V^O **6** αἱ] *om.* V^W **6 – 7** παραπετασμένα V^O **7** αἱ] *om.* PM V^W ἐν ἱπποδρομίαις] ἀνϊποδρομίαις *(*-ϊ- *e corr.)* V^O εὐφημιαν M **8** θεάτρων] θεατῶν *ed.* κολακείαι V^W, -κίαι V^O T, -κίαις M **9** μὲν] *om.* V^W φύλλα] *praem.* ὡς M κατέβαλλεν V^E T ἡμῖν] *om.* M **10 – 170, 18** καὶ – ματαιότης] *desunt in* M R, *ubi caesura post* ἀπέδειξεν **10 – 170, 7** καὶ – διεσπάσθη] *desunt in* P T, *ubi caesura post* ἀπέδειξεν **11 – 12** ἀπειλεῖν] -εῖν *e corr.* V^E, ἀπειλὴν V^WV^O A^I **12** νεῦρα] *hic caesura in* V^W **13** οἱ] ἡ V^O πεπλασμένοι] -πλασ- *e corr.* V^W, πεπλανημένοι V^EV^O A^I πρόσωπα V^W **13 – 14** τῶν – ὁ[1]] *om.* A^I **14** ὁ[2]] *om.* V^O

δι᾽ ὅλης ἡμέρας ἐκχεόμενος ἄκρατος καὶ αἱ ποικίλαι τῶν μαγείρων τέχναι καὶ οἱ τῆς δυναστείας θεραπευταί, οἱ πάντα πρὸς χάριν ποιοῦντες καὶ λέγοντες; Νὺξ ἦν πάντα ἐκεῖνα καὶ ὄναρ, καὶ ἡμέρας γενομένης ἠφανίσθη. Ἄνθη ἦν ἐαρινά, καὶ παρελθόντος τοῦ ἔαρος, ἅπαντα κατεμαράνθη. Σκιὰ ἦν καὶ παρέδραμε· καπνὸς ἦν καὶ διελύθη· πομφόλυγες ἦσαν καὶ διερράγησαν· ἀράχνη ἦν καὶ διεσπάσθη.

Διὸ πάλιν τὴν πνευματικὴν ταύτην ἐπωδὴν ἐπάδομεν, συνεχῶς λέγοντες· *Ματαιότης ματαιοτήτων, τὰ πάντα ματαιότης*. Ταύτην τὴν ῥῆσιν καὶ ἐν τοίχοις καὶ ἐν ἱματίοις καὶ ἐν ἀγοραῖς καὶ ἐν οἰκίαις καὶ ἐν ὁδοῖς καὶ ἐν θύραις καὶ ἐν εἰσόδοις καὶ ἐν ἐξόδοις καὶ πρὸ πάντων ἐν τῷ ἑκάστου συνειδότι συνεχῶς ἐγγεγράφθαι ἔδει καὶ διαπαντὸς αὐτὴν μελετᾶν, ἐπειδὴ πολλὴ τῶν πραγμάτων ἡ ἀπάτη, καὶ τὰ προσωπεῖα καὶ ἡ ὑπόκρισις ἀλήθειά τις παρὰ τοῖς πολλοῖς εἶναι δοκεῖ. Ταύτην καθ᾽ ἑκάστην ἡμέραν καὶ ἐν δείπνῳ καὶ ἐν ἀρίστῳ καὶ ἐν συλλόγοις ἐπιλέγειν ἕκαστον τῷ πλησίον ἐχρῆν καὶ παρὰ τοῦ πλησίον ἀκούειν, ὅτι *Ματαιότης ματαιοτήτων, τὰ πάντα ματαιότης*. Οὐκ ἔλεγον συνεχῶς, ὅτι δραπέτης ὁ πλοῦτος; Σὺ δὲ ἡμῶν οὐκ ἠνείχου. Οὐκ ἔλεγον, ὅτι ἀγνώμων ἐστὶν οἰκέτης; Σὺ δὲ οὐκ ἠβούλου πείθεσθαι. Ἰδοὺ σὲ τῶν πραγμάτων ἐδίδαξεν ἡ πεῖρα, ὅτι οὐ δραπέτης μόνον οὐδὲ ἀγνώμων οἰκέτης, ἀλλὰ καὶ ἀνδροφόνος· οὗτος γάρ σε τρέμειν νῦν καὶ δεδιέναι παρεσκεύασεν. Οὐκ ἔλεγον συνεχῶς, ἡνίκα ἐπετίμας ἀληθῆ σοι λέγοντι, ὅτι ἐγώ σε φιλῶ μᾶλλον τῶν κολακευόντων; Οὐκ ἔλεγον, ὅτι ἐγώ, ὁ ἐλέγχων, πλεῖον κήδομαι τῶν χαριζομένων; Οὐ προσετίθουν τοῖς ῥήμασι τούτοις ὅτι ἀξιοπιστότερα τραύματα φίλων ἢ

9 Eccle. 1, 2[2] **17 – 18** Ibid.

1 ἡμέρας] *praem.* τῆς V^{W} αἱ ποικίλαι] αἱ ποκιλίαι $V^{W\ a.\ ras.\ ut\ videtur}$, ἐπικείλαι V^{O} **4** παρελθόντα V^{O} **5** καπνὸς] καρπὸς *ed.* **6** πομφόλϋγγες A^{I} **8 – 9** ἐπάδομεν συνεχῶς. λέγοντες V^{E} **8** ἐπάδωμεν P, ἐπαΐδωμεν T, ἐπάγομεν V^{O} συνεχῶς] *praem.* καὶ V^{W} P T **9** λέγομεν *(-μεν e corr.)* V^{W} **9 – 26** Ταύτην – τούτοις] *desunt in* V^{W}, *ubi caesura post* ματαιότης **9 – 18** Ταύτην – ματαιότης] *desunt in* P T, *ubi caesura post* ματαιότης **10** τύχοις $V^{E}V^{O}$ **14 – 15** παρὰ – πολλοῖς] *post* δοκεῖ *transpos.* A^{I} **15** δοκεῖς V^{O} **18** ὁ] *s. l.* M **19** ἠνήχου *(*η- T*)* $V^{E}V^{O}$ P T, ηνιχου M **20** ηβούλου V^{O} P T, εβούλου M σὲ] ἐκ *ed.* **20 – 21** ἐδίδαξεν] ἔδειξεν R *(= ed.)* **21** δραπετὴς R **22** ἀνδραφόνος V^{O} οὗτος] οὑτως M τρέμει $P^{a.\ c.}$ δεδείεναι *(-ει- M)* PM T **22 – 23** παρασκευᾶσαι V^{O} **23** ἔλεγον] ἔλεγεν A^{I} ἐπετίμων *(-ι- M)* PM T R **23 – 24** λέγων PM T R **25** ὅτι] *om.* PM T ὁ] *om.* PM T R ἐλέγχον P πλεῖον M, πλείω *(-ι- P)* P T **26** φίλων ἢ] φίλω V^{O}

ἐκούσια φιλήματα ἐχθρῶν; Εἰ τῶν ἐμῶν ἤκουσας τραυμάτων, οὐκ ἄν σοι τὰ φιλήματα τὰ ἐκείνων τὸν θάνατον τοῦτον ἔτεκον. Τὰ γὰρ ἐμὰ τραύματα ὑγείαν ἐργάζονται, τὰ δὲ ἐκείνων φιλήματα νόσον ἀνίατον κατεσκεύασε. Ποῦ νῦν οἱ οἰνοχόοι; Ποῦ δὲ οἱ σοβοῦντες ἐπὶ τῆς ἀγορᾶς καὶ μυρία παρὰ πᾶσιν ἐγκώμια πλέκοντες; Ἐδραπέτευσαν, ἠρνήσαντο τὴν φιλίαν, ἀσφάλειαν ἑαυτοῖς διὰ τῆς σῆς ἀγνοίας πορίζοντες, οὔτε ἐγγὺς γενέσθαι τολμῶσι. Καὶ ἡ μὲν πολεμηθεῖσα παρὰ σοῦ ἐκκλησία τοὺς κόλπους ἥπλωσε καὶ ὑπεδέξατο, τὰ δὲ θεραπευθέντα θέατρα, ὑπὲρ ὧν πρὸς σὲ πολλάκις διελέχθην, προὔδωκε καὶ ἀπώλεσεν. Ἀλλ᾽ ὅμως οὐκ ἐπαυσάμεθα ἀεὶ λέγοντες· Τί ταῦτα ποιεῖς; Ἐκβακχεύεις τὴν πόλιν καὶ κατὰ κρημνῶν φέρεις, καὶ παρέτρεχες ἅπαντα. Καὶ αἱ μὲν ἱπποδρομίαι, αἱ τὸν πλοῦτον τὸν σὸν κακῶς ἀναλώσασαι, τὸ ξίφος ἠκόνησαν· ἡ δὲ ἐκκλησία, τῆς ὀργῆς ἀπολαύσασα τῆς ἀλόγου καὶ ἀκαίρου, πανταχοῦ περιτρέχει, τῶν δικτύων τούτων ἐξαρπάσαι σε ἐπειγομένη.

Καὶ ταῦτα λέγω, οὐκ ἐπεμβαίνων τῷ πεπτωκότι, οὐ καταξαίνων τὰ ἕλκη τοῦ τετρωμένου, οὐ καταποντίζων τὸν κλυδωνιζόμενον, ἀλλὰ τοὺς ἐξουρίας πλέοντας παιδεύων μὴ γενέσθαι ὑποβρυχίους. Οὐδὲν γὰρ τῶν ἀνθρωπίνων πραγμάτων σαθρότερον. Διό, ὅπερ ἂν εἴποι τις ὄνομα τῆς εὐτελείας αὐτῶν, ἔλαττον τῆς ἀληθείας ἐρεῖ· κἂν καπνόν, κἂν σκιάν, κἂν χόρτον, κἂν ὄναρ, κἂν ἄνθη ἐαρινά, κἂν ὁτιοῦν ἕτερον ὄνομα, οὐδαμινώτερα. Καὶ ὅτι μετὰ τῆς οὐδενείας καὶ πολὺ τὸ ἀπόκρημνον ἔχει <***>. Τίς γὰρ τούτου γέγονεν ὑψηλότερος; Οὐ πᾶσαν τὴν οἰκουμένην παρῆλθε τῷ πλούτῳ; Οὐ πρὸς αὐτὰς τῶν ἀξιωμάτων ἀνέβη τὰς κορυφάς; Οὐχὶ καὶ αὐτοῖς τοῖς τὰ διαδήματα περικειμένοις φοβερὸς ἦν; Οὐχὶ πάντες αὐτὸν ἔτρεμον καὶ ἐδεδίεσαν; Ἀλλ᾽ ἰδοὺ γέγονε καὶ δεσμωτῶν ἀθλιώτερος καὶ οἰκετῶν ἐλεεινότερος καὶ αὐτῶν τῶν

---

1 ἐκούσια] *in mg.* γρ<άφεται> ἀκουσια V^E ἤκουσας] εἴκουσας V^O, ἠνέσχου *ed.* τραυμάτων] ρηματων M **2** τὰ²] *om.* PM V^W T R *(= ed.)* τὸν θάνατον] *post* τοῦτον *transpos.* M τοῦτον] *om.* V^W R **3** εἰργάζοντο R **4** κατεσκεύασε] κατεσκεύασαν *(*-ευ- M*)* V^W M R, *add.* καὶ τὰ λοιπά P T **4 – 173, 28** Ποῦ¹ – αὐτοῦ] *desunt in* V^W PM T R **5** παρὰ] *om.* V^O πλέκοντες] πελέκοντες V^O, λέγοντες *ed.* **7** ἀγνοίας] ἀγωνίας *ed.* γενέσθαι] *post* τολμῶσι *transpos.* A^I **11** ἐκβαχεύεις V^E *a. c.* V^O *a. c.* **11 – 12** κατακριμνῶν V^EV^O **17 – 18** οὐ καταξαίνων] οὐκ ἀναξαίνων *ed.* **22** ἐρεῖ] ἐλθεῖν V^O **23** ὄνομα – Καὶ] ὀνομάσῃ· οὕτως ἐστὶν ἐπίκηρα, καὶ τῶν οὐδὲν ὄντων οὐδαμινώτερα *ed.* οὐδαμεινώτερα *(*-ό-V^O*)* V^EV^O **24** οὐδενίας V^EV^O *post* ἔχει *quaedam excidisse videntur*, δῆλον ἐντεῦθεν *ed.* **25** τούτω V^O **26** τῶν – κορυφάς] τὰς κορυφὰς ἀνέβη τῶν ἀξιωμάτων V^E **27** τοῖς] *om.* V^O

λιμῷ τηκομένων πτωχῶν πενέστερος, καθ᾽ ἑκάστην ὥραν ξίφη βλέπων ἠκονημένα, καὶ βάραθρον καὶ δημίους καὶ τὴν ἐπὶ θάνατον ἀπαγωγήν· καὶ οὐδὲ εἰ πώποτε γέγονεν ἐπὶ τῆς ἡδονῆς, ἐκείνης μέμνηται. Τί λέγω τῆς ἡδονῆς; Οὐδὲ αὐτῆς αἰσθάνεται τῆς ἀκτῖνος, ἀλλ᾽ ἐν μεσημβρίᾳ μέσῃ, ὥσπερ πυκνοτάτῃ νυκτὶ περιστοιχιζόμενος, οὕτως τὰς ὄψεις πεπήρωται. Μᾶλλον δέ, ὅσα ἂν φιλονεικήσωμεν, οὐ δυνησόμεθα παραστῆσαι τῷ λόγῳ τὸ πάθος, ὅπερ ὑπομένειν αὐτὸν εἰκός, καθ᾽ ἑκάστην ὥραν ὑποτέμνεσθαι προσδοκῶντα. Τῇ γὰρ προτερ<αί>ᾳ ὅτε <***> ἐκ τῶν βασιλικῶν αὐλῶν πρὸς βίαν ἑλκῦσαι βουλόμενοι, καὶ τοῖς σκεύεσι προσέδραμε τοῖς ἱεροῖς, πύξινον μὲν αὐτοῦ τὸ πρόσωπον ἦν καὶ τοῦ νεκρωθέντος ἅπαξ οὐδὲν ἄμεινον διακείμενον, κτύπος δὲ τῶν ὀδόντων καὶ πάταγος, καὶ τρόμος τοῦ παντὸς σώματος, καὶ φωνὴ διακοπτομένη, καὶ γλῶσσα διαλελυμένη, καὶ σχῆμα οἷον καὶ λιθίνην ψυχὴν τῆξαι δυνάμενον.

Καὶ ταῦτα λέγω, οὐκ ὀνειδίζων οὐδὲ ἐπεμβαίνων τῇ συμφορᾷ, ἀλλὰ τὴν ὑμετέραν διάνοιαν μαλάξαι βουλόμενος καὶ εἰς ἔλεον ἐπισπάσασθαι. Τίνος ἕνεκεν ἀγανακτεῖς; Ὅτι δή, φησίν, εἰς ἐκκλησίαν κατέφυγεν ὁ πολεμήσας αὐτὴν διηνεκῶς. Διατοῦτο μάλιστα δοξάζειν χρὴ τὸν θεόν, ὅτι ἀφῆκεν αὐτὸν εἰς τοσαύτην καταστῆναι ἀνάγκην, ὥστε καὶ τὴν δύναμιν τῆς ἐκκλησίας καὶ τὴν φιλανθρωπίαν μαθεῖν, οὐ μνησικακήσασα ὑπὲρ τῶν ἔμπροσθεν, ἀλλὰ τοὺς κόλπους αὐτῷ ἁπλώσασα καὶ μετὰ πολλῆς διαπετάσασα τῆς φιλοστοργίας. Τοῦτο τροπαίου παντὸς λαμπρότερον, τοῦτο Ἕλληνας ἐντρέπει, τοῦτο Ἰουδαίους καταισχύνει, ὅτι τὸν πολέμιον αἰχμάλωτον λαβοῦσα φείδεται καὶ καθάπερ μήτηρ φιλόστοργος ὑπὸ τὰ παραπετάσματα αὐτῆς ἔκρυψεν, καὶ πρὸς βασιλικὴν ὀργὴν ἀντέστη καὶ πρὸς δήμου θυμὸν καὶ πρὸς μῖσος ἀφόρητον· τοῦτο τῷ θυσιαστηρίῳ κόσμος. Ποῖος κόσμος, φησίν, τὸν ἐναγῆ καὶ πλεονέκτην καὶ ἅρπαγα τῶν κιόνων ἅπτεσθαι τοῦ θυσιαστη-

---

4 λέγει V^{O} **5** πυκνωτάτη V^{E}, πηνοτάτη V^{O} **7** δυνησώμεθα $V^{E}V^{O}$ **8** ὑπομένην $V^{E\,a.\,c.}$, ἡπομένην V^{O} εἰκός] *scripsi (ed.)*, ἴσως $V^{E}V^{O}$ A^{I} ὑποτέμνεσθαι] ἀποκτείνεσθαι *ed.* **9** προσδοκοῦντα $V^{E}V^{O}$ Τῇ] τὴν V^{O} προτεραίᾳ] *correxi (ed.)*, πρότερα $V^{E}V^{O}$ A^{I} *post* ὅτε *quaedam excidisse videntur*, ἐπ᾽ αὐτὸν ἦλθον *ed.* **10** πρὸς βίαν] προσβίαν V^{E}, προσκίαν V^{O} **10 – 11** τοῖς – προσέδραμε] *om.* A^{I} **14** διαλελυμένην V^{O} **16** λέγει V^{O} **17** ἡμετέραν V^{O} A^{I} **23** αὐτῶν V^{O} **25** κατισχύνει V^{O} **26** λαβοῦσαν V^{O} **28** προσδῆμον V^{O} πρὸ μίσος V^{O} **29** τὸ θϋσϊαστήρϊον V^{O} κόσμος[1] – κόσμος[2]] κόσμος ποῖος· κόσμος V^{O} H^{I}

ρίου; Μὴ λέγε ταῦτα, ἐπεὶ καὶ ἡ πόρνη ἥψατο τῶν ποδῶν τοῦ Ἰησοῦ, ἡ σφόδρα ἐναγὴς καὶ ἀκάθαρτος, καὶ οὐκ ἦν ἔγκλημα τῷ Ἰησοῦ· οὐ γὰρ τὸν καθαρὸν ἔβλαπτεν ἡ ἀκάθαρτος, ἀλλὰ τὴν ἐναγῆ πόρνην ὁ καθαρὸς εἰργάσατο ἄμωμον διὰ τῆς ἁφῆς. Μὴ δὴ μνησικακήσῃς, ἄνθρωπε. Ἐκείνου οἰκέται ἐσμὲν τοῦ δεσπότου τοῦ ἐσταυρωμένου, τοῦ λέγοντος· *Πάτερ, ἄφες αὐτοῖς· οὐ γὰρ οἴδασι τί ποιοῦσιν*. Ἀλλ᾽ ἀπετείχισε, <φησί>, τὴν ἐνταῦθα καταφυγὴν γράμμασι καὶ νόμοις διαφόροις. Ἀλλ᾽ ἰδοὺ διὰ τῶν ἔργων ἔμαθεν ὅπερ ἐποίησεν, καὶ τὸν νόμον ἔλυσε πρῶτος αὐτὸς δι᾽ ὧν ἔπαθε, καὶ γέγονε τῆς οἰκουμένης θέατρον. Καὶ σιγῶν ἐντεῦθεν ἀφίησι φωνήν, ἅπασι παραινῶν καὶ λέγων· Μὴ ποιεῖτε τοιαῦτα, ἵνα μὴ πάθητε τοιαῦτα· καὶ διδάσκαλος ἀνεδείχθη σιγῶν διὰ τῆς συμφορᾶς. Νῦν φοβερὸν μάλιστα, ὅτι τὸν λέοντα δεδεμένον ἔχει, <ἐπεὶ> καὶ βασιλικῇ εἰκόνι μέγας γένοιτ᾽ ἂν κόσμος, οὐχ᾽ ὅταν ἐπὶ τοῦ θρόνου κάθηται, πορφυρίδα περιβεβλημένος καὶ διάδημα μόνον, ἀλλὰ καὶ ἐὰν ὑπὸ τῷ βασιλικῷ ποδὶ βάρβαροι ὀπίσω δεδεμένοι κάτω τὰς κεφαλὰς νεύουσιν κείμενοι. Καὶ πάντες ἐνταῦθα συνεδράμετε, ἵνα τὴν ἀνθρωπίνην φύσιν ἴδητε διελεγχομένην.

Ὁρῶντες γὰρ τοῦτον ἐκ τοσαύτης κορυφῆς κατενεχθέντα, τὸν σείοντα σχεδὸν τὴν οἰκουμένην πᾶσαν, συνεσταλμένον καὶ λαγωοῦ καὶ βατράχου δειλότερον γεγενημένον καὶ χωρὶς δεσμῶν τῷ κίονι τούτῳ προσηλωμένον, καὶ ἀνηλεῶς τῷ φόβῳ περισφιγγόμενον καὶ δεδοικότα καὶ τρέμοντα, καταστέλλειν τὴν φλεγμονὴν καὶ καθαίρειν τὸ φύσημα, φιλοσοφήσαντες, ὅτι *Πᾶσα σὰρξ χόρτος, καὶ πᾶσα δόξα ἀνθρώπου ὡς ἄνθος χόρτου· ἐξηράνθη ὁ χόρτος καὶ τὸ ἄνθος ἐξέπεσεν*, ὅτι *Ὡσεὶ χόρτος ταχὺ ἀποξηρανθήσονται, καὶ ὡσεὶ λάχανα χλόης ταχὺ ἀποπεσοῦνται*, ὅτι *Ἄνθρωπος ματαιότητι ὡμοιώθη*, καὶ *ὡσεὶ καπνὸς αἱ ἡμέραι αὐτοῦ*…

---

1 – 2 cf. Luc. 7, 38 **3 – 4** cf. ibid. 7, 37–48 **6 – 7** Ibid. 23, 34 **24 – 26** Is. 40, 6–7 **26 – 27** Ps. 36, 2[1–2] **27 – 28** Ibid. 143, 4[1] **28** Ibid. 101, 4[1]

---

2 εὐαγὴς V^{O} **3** ἐναγῆν V^{O} **7** φησί] *supplevi (ed.), om.* $V^{E}V^{O}$ H^{I} καταφυγεῖν V^{O} **9** ἔπαθε] ἐποίησε *ed.* **11** ποιεῖτε] *scripsi (ed.),* ποιῆτε $V^{E}V^{O}$ H^{I} **12** ἐνεδέχθη V^{O} **13** ἐπεὶ] *supplevi (ed.), om.* $V^{E}V^{O}$ H^{I} **15** *post* διάδημα *hab.* περικείμενος ὁ βασιλεὺς *ed.* **16** κάτω] κατὰ V^{O} **17** νεύωσι *ed.* **19** κατενεχθέντες V^{O} **22** τοῦτο V^{O} ἀνιλέως V^{O}, ἀνιλεῶς H^{I}, ἀντὶ ἀλύσεως *ed.* **23** καταστέλλειν] *exspectaveris* καταστέλλετε *(cf. ed.)* **24** καθαίρειν] *exspectaveris* καθαίρετε *vel potius* καθαιρεῖτε *(cf. ed.)* **25** χόρτου V^{O}

Οὐδὲν τῶν ἀνθρωπίνων πραγμάτων σαθρότερον. Δι<ό>, ὅπερ ἂν εἴπῃ τίς ὄνομα τῆς εὐτελείας αὐτῶν, ἔλαττον τῆς ἀληθείας ἐρεῖ, κἂν καπνὸν αὐτὰ καὶ σκιάν, κἂν χόρτον, κἂν ἄνθη ἐαρινά, κἂν ὁτιοῦν ἕτερον ὀνομάσῃ, ὃ ταχέως ἀφίπταται καὶ οὕτως ἐστὶν ἐπίκηρα· καὶ τὸ δὲ χαλεπώτερον, ὅτι μετὰ τῆς οὐδενείας καὶ πολὺ τὸ ἐπίκρημνον ἔχει.

II[1]183 / K cap. A 3, 66

Ἡσυχίου πρεσβυτέρου Ἱεροσολύμων, ἐκ τῶν εἰς τοὺς Ψαλμούς·

Σκιᾶς θᾶττον ἀπανθεῖ τὰ ἀνθρώπινα.

<II[1]suppl. 151–158 / V cap. A 10, 62–69>

9 II[1]suppl. 151–158 cf. *Sacra*. Liber II. *Supplementum* (Band VIII/8)

1 – 5 II[1]182 *Versio* K IOHANNES CHRYSOSTOMUS, *In Eutropium*, 2 (PG 52, 393, 12–18) **8 II[1]183** HESYCHIUS HIEROSOLYMITANUS, *Commentarius in Psalmos*, locus non repertus

7 – 8 II[1]183 K cap. A 3, 66 (70r[8]9); $V^{E}V^{O}$ cap. A 10, 61; V^{W} cap. A 10, 55; H^{I} cap. A 9, 7; P cap. A 43, 60; M cap. A 43, 57; T cap. A 65, 59; *deest in* L^{b} R; PG 86, 2064, 27–29; PG 95, 1133, 22–23

II[1]183 (a) K (b) Ἡσυχίου πρεσβυτέρου Ἱεροσολύμων PM T ἡσυχιου M, ησυχίου T ϊεροσολύμων P T, ϊεροσολυμων M (c) Ἡσυχίου V H^{I} ἰσυχι *(sic)* V^{W}

1 – 5 Οὐδὲν – ἔχει] *Versio* K **1** Διό, ὅπερ] *correxi secund. versionem* V $H^{I}A^{I}$ PM T R, δι ὅπερ *(sic)* K **3** ἐαρινά] *correxi secund. versionem* V $H^{I}A^{I}$ PM T R, ἢ κρίνα K **4** ἐπίκηρα] *scripsi (ed.)*, ἐπίκειρα K **8** ἀπανθῆ $V^{E}V^{O}$, ἐπανθεῖ K, ἐπανθῆ V^{W} τὸ ἀνθρώπινον M

II[1]184 / K cap. A 3, 67

Φίλωνος, ἐκ τοῦ ζ′ καὶ η′ τῆς νόμων ἱερῶν ἀλληγορίας·

Κυρίως οὔτε ἐπὶ χρημάτων ἢ κτημάτων περιουσίᾳ, οὔτε ἐπὶ δόξης λαμπρότητι, οὐδὲ συνόλως ἐπί τινι τῶν ἐκτός, ψυχρῶν τε ὄντων καὶ ἀβεβαίων καὶ ἐξ ἑαυτῶν τὰς φθορὰς δεχομένων, χαίρειν ἐστί, καὶ μὴν οὐδὲ ἐπὶ ῥώμῃ καὶ εὐτονίᾳ καὶ τοῖς ἄλλοις σώματος πλεονεκτήμασιν, ἃ καὶ τῶν φαυλοτάτων ἐστὶ κοινά, καὶ τοῖς ἔχουσι πολλάκις ὄλεθρον ἀπαραίτητον ἤνεγκεν διὰ τὸ ἀσύστατον καὶ ἀβέβαιον.

II[1]185 / K cap. A 3, 68

Ἐκ τοῦ ἀπὸ τῶν <ἐν>Ἐξόδῳ ζητημάτων·

Πάντων μέν, εἰ δεῖ τἀληθὲς εἰπεῖν, ἄκυρον ὁ ἄνθρωπος, οὐδενὸς ἐνειλημμένος, οὐχ' ὅτι τῶν ἄλλων, ἀλλ' οὐδὲ τῶν περὶ αὐτὸν βε-

---

3 – 9 II[1]184 PHILO IUDAEUS, *Legum allegoriae*, VII et VIII *(Quod deterius potiori insidiari soleat)*, 136 (ed. Cohn, p. 289, 1–6) **12 – 176, 5 II[1]185** PHILO IUDAEUS, *Quaestiones in Exodum*, locus non repertus (ed. Petit, p. 295–296.16); Royse 177.68

---

2 – 9 II[1]184 K cap. A 3, 67 (70r[10]11–19); V[E]V[O] cap. A 10, 70; V[W] cap. A 10, 64; H[I] cap. A 9, 16; P cap. A 43, 67; M cap. A 43, 64; T cap. A 65, 66; R cap. A 56, 56; *deest in* L[b]; PG 86, 2064, 30–39; PG 95, 1136, 15–23 **11 – 176, 5 II[1]185** K cap. A 3, 68 (70r[20]21–70v5); V[E]V[O] cap. A 10, 71; V[W] cap. A 10, 65; H[I] cap. A 9, 17; P cap. A 43, 68; M cap. A 43, 65; T cap. A 65, 67; R cap. A 56, 57; *deest in* L[b]; PG 95, 1136, 24–32

II[1]184 (a) K (b) Φίλωνος, ἐκ τοῦ τῆς τῶν νόμων ἱερῶν ἀλληγορίας PM T R τοῦ] *om.* M T τῶν] *om.* P νόμων ἱερῶν] ἱερων νομων M (c) Φίλωνος V H[I] **II[1]185** (a) K ἀπὸ] *sic cod.* ἐν] *supplevi, om. cod.* (b) Τοῦ αὐτοῦ V H[I] (c) *s. a.* PM (d) *s. d.* T R

---

3 οὔτε[1]] οὐτὸ V[W] ἢ κτημάτων] *om.* P οὔτε[2]] οὐτῆ V[W] **4** ψυχρῶν τε] ἀψύχων τε *ed.* **5** ἐξεαὐτῶν M, ἐξ αὐτῶν V H[I] R, ἐξαυτῶν *(-ων* P*)* P T **6** οὐδὲ] οὐδὲν V[O] σώματος] *praem.* τοῦ V[E]V[O] H[I] R **7** ἔστι V[W] P, ἐστιν M, ἔτι T **8** ἀπαραίτητον] *post* ἤνεγκεν *transpos.* M ἤνεγκαν *(*ἠ- P, η- M*)* PM T R **12** μέν] *om.* K εἰ δεῖ] εἰδει V[W] P[p. c.], ἐδει P[a. c.], εἰ δὴ V[O], ἤδη *(*η- M*)* K M ἀκυρον M, ἄκορον *(*ἀ- P*)* P T ὁ] *om.* V H[I] PM T R **13** ἐπηλειμμενος M οὐχ' – τῶν[1]] οὐχ' ὁ τῶν P T, οὐχ' ὃ τῶν R, οὐχι των M ἀλλ'] *s. l.* K αὐτὸν] *scrips. Petit*, αὐτὸν V[E]V[W] H[I] R, αυτον M, αὐτῶν *(*αυ- V[O] T*)* K V[O] P T **13 – 176, 1** βέβαιος K

βαίως, οὐχ᾽ ὑγείας, οὐκ εὐαισθησίας, οὐκ ἀρτιότητος τῆς περὶ τὰ ἄλλα τοῦ σώματος, οὐχὶ φωνῆς, οὐκ ἀγχινοίας. Τὰ γὰρ κατὰ πλοῦτον ἢ δόξαν ἢ φίλους ἢ ἀρχὰς ἢ ὅσα ἄλλα τυχηρά, τίς οὐκ οἶδεν ὡς ἔστιν ἀβέβαια; Ὥστε ἀνάγκη ὁμολογεῖν ὅτι περὶ ἕνα τὸ κῦρος τῶν ἁπάντων ἐστίν, τὸν ὄντως ὄντα κύριον.

1 ὑγίας $V^{W\ a.\ c.}$, ϋγίας V^{E} T, ϊγίας V^{O} ἀντιότητος R **1 – 2** τῆς – σώματος] *om.* T **1** τῆς] *praem.* οὐ R **1 – 2** τα αλλα M, τ᾽ ἀλλα P **2** τοῦ σώματος] σώματα R, *om.* K *ante* φωνῆς *iterav.* οὐχϊ φωνῆς οὐκ αρτιότητος περὶ τὰ ἄλλα τοῦ σώματος V^{O} *(sed cancellav.)* **3** ὅσα] *post* ἄλλα *transpos.* M **5** ὄντως] *post* ὄντα *transpos.* V H^{I} P T R

Τίτλος δ′ Περὶ ἀγαθοεργίας, καὶ ὅτι χρὴ τὸ ἀγαθὸν πρὸς πάντας ποιεῖν καὶ *μὴ ἀποδιδόναι κακὸν ἀντὶ κακοῦ*, ἀλλὰ πειρασθῆναι *νικᾶν ἐν τῷ ἀγαθῷ τὸ κακόν*. *II²/T cap. A 5

ια′ Περὶ ἀγαθοεργίας, καὶ ὅτι χρὴ τὸ ἀγαθὸν πρὸς πάντας ποιεῖν, [καὶ ὅτι χρὴ τὰ βάρη τοῦ πλησίον φέρειν καὶ μὴ μνησικακεῖν, ἀλλ᾽ ἀντιλαμβάνεσθαι αὐτοῦ, καὶ ἐλέγχειν τὰ ὡς εἰκὸς παρ᾽ αὐτοῦ γινόμενα κακά,] καὶ *μὴ ἀποδιδόναι κακὸν ἀντὶ κακοῦ*.

II¹186 / K cap. A 4, 1

Τῆς Ἐξόδου·

Ἐὰν συναντήσῃς τῷ βοῒ τοῦ ἐχθροῦ σου ἢ τῷ ὑποζυγίῳ αὐτοῦ πλανωμένοις, ἀποστρέψας ἀποδώσεις αὐτῷ.

---

1 – 3 Περὶ – κακόν] cf. II¹ / K^{pin} Παραπομπὴ K 1 **1 – 2** ὅτι – ποιεῖν] cf. II¹ / K^{pin} Παραπομπὴ X 3 **2** μὴ – κακοῦ] Rom. 12, 17 **3** νικᾶν – κακόν] Ibid. 12, 21 **5** cf. Gal. 6, 2 **7 – 8** μὴ – κακοῦ] Rom. 12, 17

---

11 – 12 II¹186 Ex. 23, 4

---

1 – 3 Titlos (a) K (70v5–8) **4 – 8 Titlos (b)** V H$^{I\,txt}$ A^{I} L^{c}; *deest in* H$^{I\,pin\,(lac.)}$ **10 – 12 II¹186** K cap. A 4, 1 (70v[8]9–11); V^{E}V^{O} cap. A 11, 2; V^{W} cap. A 11, 1; H^{I} cap. A 10, 2; L^{c} cap. A 8, 2; PG 95, 1136, 45–47

---

1 – 3 Titlos (a) **2 – 3** πειρασθῆναι] πειρᾶσθαι K^{pin} **4 – 8 Titlos (b)** **4** ια′] ι′ H$^{I\,txt}$ A$^{I\,txt}$, *propt. mg. resect. non liquet in* A$^{I\,pin}$ *(*ι′ *secund. ser. et add. man. rec.)*, η′ L^{c}, *praem.* τίτλος V$^{W\,txt}$ χρὴ] δεῖ A$^{I\,pin}$, *om.* H$^{I\,txt}$ A$^{I\,txt}$ πρὸς] πρὸ V$^{O\,txt}$ **4 – 5** ποιεῖν] *add.* δεῖ A$^{I\,txt}$ **5 – 7** καὶ^{1} – κακά] *secludenda videntur (cf.* III / par. 36[37] A*)* **5** χρὴ] δεῖ L^{c} τοῦ] τῶν L$^{c\,pin\,a.\,c.}$ πλησίου V$^{O\,txt}$ φέρειν] *add.* καὶ συγγινώσκειν καὶ διαβαστάζειν τὸν ἀδελφὸν L^{c} **6** ἀλλὰ V$^{E\,pin}$ V^{W}V$^{O\,pin}$ αὐτῶν A$^{I\,pin}$, *om.* V$^{E\,pin}$ V$^{O\,pin}$ L^{c} **6 – 7** τὰ – κακά] δι᾽ αὐστηρίας κεκραμένης ἁπαλότητι L^{c}, *om.* V$^{E\,pin}$ V$^{O\,pin}$ **7** ἀντιδιδόναι V$^{E\,txt}$ V$^{O\,txt}$ H$^{I\,txt}$ A^{I} **7 – 8** κακοῦ] *add.* μὴ δὲ ἀμύνεσθαι τὸν ἐχθρόν *(add.* ἐν ᾧ κεφάλαια L$^{c\,pin}$*)* L^{c}

II¹186 (a) K V^{W} Τῆς] *om.* V^{W} (b) *s. a.* V^{E}V^{O} H^{I} L^{c}

---

11 συναντήσεις V^{O} αὐτοῦ] *om.* L^{c} **12** πεπλανημένοις L^{c} ἀποδόσης K V$^{W\,a.\,c.}$, -δωσ′ V^{O}

II[1]187 / K cap. A 4, 2

Τῆς αὐτῆς·

Ἐὰν ἴδῃς τὸ ὑποζύγιον τοῦ ἐχθροῦ σου πεπτωκὸς ὑπὸ τὸν γόμον, οὐ παρελεύσῃ αὐτό, ἀλλὰ συνεγερεῖς αὐτὸ μετ᾽ αὐτοῦ.

II[1]188 / K cap. A 4, 3

Τοῦ Δευτερονομίου·

Μὴ ἰδὼν τὸν μόσχον τοῦ ἀδελφοῦ σου ἢ τὸ πρόβατον πλανώμενα ἐν τῇ ὁδῷ, ὑπερίδῃς αὐτά· ἀποστροφῇ ἀποστρέψεις αὐτὰ τῷ ἀδελφῷ σου. Ἐὰν δὲ μὴ ἐγγίζῃ ὁ ἀδελφός σου, μὴ δὲ ἐπιστῇ αὐτῶν, συνάξεις αὐτὰ μετὰ σεαυτοῦ, ἕως ἂν ζητήσῃ αὐτὰ ὁ ἀδελφός σου, καὶ ἀποδώσεις αὐτῷ.

II[1]189 / K cap. A 4, 4

Τοῦ αὐτοῦ·

Ἐὰν ὄψῃ τὸν ὄνον τοῦ ἀδελφοῦ σου ἢ τὸν μόσχον πεπτωκότα ἐν τῇ ὁδῷ, μὴ ὑπερίδῃς αὐτά· ἀνιστῶν ἀναστήσεις μετ᾽ αὐτοῦ.

---

3 – 4 II[1]187 Ex. 23, 5 **7 – 11 II[1]188** Deut. 22, 1–2 (Wahl, *Deuteronomium-Text*, p. 137) **14 – 15 II[1]189** Deut. 22, 4 (Wahl, *Deuteronomium-Text*, p. 137)

---

2 – 4 II[1]187 K cap. A 4, 2 (70v[11]12–14); $V^{E}V^{O}$ cap. A 11, 3; V^{W} cap. A 11, 2; H^{I} cap. A 10, 3; L^{c} cap. A 8, 3; PG 95, 1136, 47–49 **6 – 11 II[1]188** K cap. A 4, 3 (70v[14]15–20); $V^{E}V^{O}$ cap. A 11, 1; V^{W} cap. A 11, 3; H^{I} cap. A 10, 1; L^{c} cap. A 8, 1; PG 95, 1136, 39–44 **13 – 15 II[1]189** K cap. A 4, 4 (70v[20]21–23); *deest in* V H^{I} L^{c}

II[1]187 (a) K (b) *s. d.* V H^{I} L^{c} **II[1]188** (a) K V^{W} Τοῦ] *om.* V^{W} (b) Τῆς Ἐξόδου $V^{E}V^{O}$ H^{I} L^{c} Τῆς] *om.* $V^{E}V^{O}$ L^{c}

---

3 Ἐὰν] *add.* δὲ V H^{I} L^{c} πεπτωκὼς $K^{a.\ ras.}$ $V^{W\ a.\ ras.}$ τῶν γόμων V^{O} **4** αὐτό] αὐτῶ V^{O} συνεργεῖς V^{O} αὐτὸ] αὐτῶ $K^{a.\ c.}$ $V^{W\ a.\ ras.}$ $V^{O\ p.\ c.}$, αὐτοῦ $V^{O\ a.\ c.}$ **7** ἰδὸν V^{O}, εἰδὼς V^{W} ἀδελφοῦ σου] ἀδελφοῦ $V^{E}V^{O}$ H^{I} L^{c} πλανόμενον V^{E}, πλανόμενα V^{O} **8** ἀποστρέψης K $V^{E\ a.\ c.}$ V^{O} **9** ὁ ἀδελφός σου] τῶ ἀδελφῶ σου V^{O} δὲ[2]] *om.* L^{c} ἐπίστῃ αὐτόν *LXX* ἐπϊστὴ V^{O}, ἐπϊστη *(-ϊ- e corr.)* L^{c} **10** συνάξης K ζητήσει $V^{E\ a.\ c.\ ut\ videtur}$ V^{O} **11** ἀποδόσης K, ἀποδώσης V^{W}, ἀποδῶ $V^{E\ a.\ c.}$ V^{O} H^{I}, ἀποδῶς $V^{E\ p.\ c.}$ L^{c} αὐτά V H^{I} L^{c} **15** ἀναστήσης $K^{p.\ c.\ in\ mg.\ ut\ videtur}$

<II¹suppl. 159 / V cap. A 11, 6>

II¹190 / K cap. A 4, 5

Βασιλειῶν α′·

Ἐξῆλθε Δαυῒδ ἐκ τοῦ σπηλαίου, καὶ ἐβόησεν ὀπίσω Σαούλ, λέγων·
Κύριε βασιλεῦ. Καὶ ἐπέβλεψεν Σαοὺλ ὀπίσω αὐτοῦ, καὶ ἔκυψεν Δαυῒδ ἐπὶ πρόσωπον αὐτοῦ ἐπὶ τὴν γῆν, καὶ προσεκύνησεν αὐτῷ. Καὶ εἶπεν Δαυῒδ πρὸς Σαούλ· Ἱνατί ἀκούεις τῶν λόγων τοῦ λαοῦ, λεγόντων· Ἰδοὺ Δαυῒδ ζητεῖ τὴν ψυχήν σου; Ἰδοὺ ἐν τῇ ἡμέρᾳ ταύτῃ ἑωράκασιν οἱ ὀφθαλμοί σου ὡς παρέδωκέν σε κύριος σήμερον εἰς τὰς χεῖράς μου ἐν τῷ σπηλαίῳ, καὶ οὐκ ἠβουλήθην ἀποκτεῖναί σε, καὶ ἐφεισάμην σου, καὶ εἶπα· Οὐκ ἐποίσω χεῖρά μου ἐπὶ κύριόν μου, ὅτι χριστὸς ἦν οὗτος. Καὶ ἰδοὺ τὸ πτερύγιον τῆς διπλοΐδος σου ἐν τῇ χειρί μου, καὶ οὐκ ἀπέκταγκά σε.

II¹191 / K cap. A 4, 6

Καὶ μετ᾽ ὀλίγα·

Ἐγενήθη ὡς συνετέλεσεν Δαυῒδ τὰ ῥήματα ταῦτα λαλῶν πρὸς Σαούλ, καὶ εἶπεν Σαούλ· Ἡ φωνή σου αὕτη, τέκνον Δαυῒδ; Καὶ ἐπῆρεν Σαοὺλ τὴν φωνὴν αὐτοῦ, καὶ ἔκλαυσεν καὶ εἶπεν πρὸς Δαυῒδ·

---

1 II¹suppl. 159 cf. *Sacra*. Liber II. *Supplementum* (Band VIII/8)

---

4 – 13 II¹190 I Reg. 24, 9–12 (Wahl, *1 Samuel-Text*, p. 73) **16 – 180, 6 II¹191** I Reg. 24, 17–20 (Wahl, *1 Samuel-Text*, p. 74)

---

3 – 13 II¹190 K cap. A 4, 5 (70v[23]24–71r12); V cap. A 11, 7; H^{I} cap. A 10, 7; L^{c} cap. A 8, 7; PG 95, 1137, 1–12 **15 – 180, 6 II¹191** K cap. A 4, 6 (71r[13]13–23); V cap. A 11, 8; H^{I} cap. A 10, 8; L^{c} cap. A 8, 8; PG 95, 1137, 13–16

II¹190 βασλιω V^{W} α′] πρώτης H^{I}, *om.* V^{W} **II¹191** (a) K (b) *s. d.* V H^{I} L^{c}

---

4 ἐκ] ἀπὸ *(*α- L^{c}*)* V^{E}V^{O} H^{I} L^{c} **7** πρὸς Σαούλ] *om.* V H^{I} L^{c} ἀκούης V^{E}V^{W} **9** κύριος] *post* σήμερον *transpos.* V^{W}, *om.* V^{E}V^{O} H^{I} L^{c} **10** ἠβουλήθη V^{O} **11** ἐφησάμην σου V$^{E\,a.\,c.}$ V^{O} ἐποίσω] ἐποίησα V^{O}, ἐπιθήσω K **12** χριστὸς ἦν] χριστὸς κυρίου V^{O} L^{c}, χρηστὸς κυρίου V^{E}V^{W} H^{I} ἰδοὺ] *add.* δὴ K **13** ἀπέκταγά σε L^{c}, ἀπέκτεινά σε *(*απ- K*)* K V^{W} **16 – 17** Ἐγενήθη – Δαυῒδ] *om.* V H^{I} L^{c} **18** ἔκλαυσεν] ἐβώησε *(sic)* H^{I}

Δίκαιος σὺ ὑπὲρ ἐμέ, ὅτι σὺ ἀνταπέδωκάς μοι ἀγαθά, ἐγὼ δὲ ἀνταπέδωκά σοι κακά. Καὶ σὺ ἀπήγγελκάς μοι σήμερον ἃ ἐποίησάς μοι ἀγαθά, ὡς ἀπέκλεισέν με κύριος εἰς τὰς χεῖράς σου, καὶ οὐκ ἀπέκτεινάς με· καὶ ὅτι εἰ εὕροι τίς τὸν ἐχθρὸν αὐτοῦ καὶ ἐκπέμψει αὐτὸν ἐν ὁδῷ ἀγαθῇ, καὶ κύριος ἀνταποδώσει αὐτῷ ἀγαθά.

II[1]192 / K cap. A 4, 7

Τῶν Παροιμιῶν·

Τεκταινόμενος ἀγαθά, ζητεῖ χάριν ἀγαθήν.

II[1]193 / K cap. A 4, 8

Τῶν αὐτῶν·

Μὴ πλατύνου σοῖς χείλεσιν,
μὴ εἴπῃς· Ὃν τρόπον ἐχρήσατό μοι, χρήσομαι αὐτῷ,
ὑπὲρ ὧν με ἠδίκησεν.

---

9 II[1]192 Prov. 11, 27[1] (Wahl, *Proverbien-Text*, p. 60) **12 – 14 II[1]193** Prov. 24, 28[2]–29[2] (Wahl, *Proverbien-Text*, p. 118)

---

8 – 9 II[1]192 K cap. A 4, 7 (71v[mg]1); V cap. A 11, 9; H[I] cap. A 10, 9; L[c] cap. A 8, 9; PG 95, 1137, 17 **11 – 14 II[1]193** K cap. A 4, 8 (71v[1]2–3); V cap. A 11, 10; H[I] cap. A 10, 10; L[c] cap. A 8, 10; PG 95, 1137, 18–20

II[1]192 (a) K V[E]V[O] H[I] L[c] Τῶν] *om.* V[E]V[O] H[I] L[c] (b) Σιράχ V[W] **II[1]193** (a) K (b) *s. a.* V H[I] L[c]

---

2 – 6 Καὶ – ἀγαθά] *om.* V H[I] L[c] **4** εὕροι τίς] *scripsi (LXX in app. crit.)*, εὕρει τίς K **9** Τεκταινόμενος] *praem.* ὁ V[W man. rec.] **13** εἴπῃς] εἴποις L[c] **14** ἠδίκησεν] ἐκδίκησεν V[O]

II¹194 / K cap. A 4, 9

Τῶν αὐτῶν·

Μὴ εἴπῃς· T<ε>ίσομαι τὸν ἐχθρόν,
ἀλλ᾽ ὑπόμεινον τὸν κύριον, ἵνα σοι βοηθήσῃ.

II¹195 / K cap. A 4, 10

Τῶν αὐτῶν·

Ἐὰν πεινᾷ ὁ ἐχθρός σου, ψώμιζε αὐτόν,
ἐὰν διψᾷ, πότιζε αὐτόν·
τοῦτο γὰρ ποιῶν, ἄνθρακας πυρὸς σωρεύσεις ἐπὶ τὴν κεφαλὴν [αὐτοῦ,
καὶ κύριος ἀνταποδώσει σοι ἀγαθά.

II¹196 / K cap. A 4, 11

*II²111 / T cap. A 5, 13

Ἀμὼς προφήτου·

Ἐκζητήσατε τὸ καλὸν καὶ μὴ τὸ πονηρόν, καὶ ἔσται μεθ᾽ ὑμῶν κύριος.

---

3 – 4 II¹194 Prov. 20, 9c[1–2] (Wahl, *Proverbien-Text*, p. 98) **7 – 11 II¹195** Prov. 25, 21[1]–22[2] (Wahl, *Proverbien-Text*, p. 126) **14 – 15 II¹196** Am. 5, 14 (Wahl, *Prophetenzitate*, p. 187)

---

2 – 4 II¹194 K cap. A 4, 9 (71v[4]4–5); V cap. A 11, 11; H^{I} cap. A 10, 11; L^{c} cap. A 8, 11; PG 95, 1137, 21–22 **6 – 11 II¹195** K cap. A 4, 10 (71v[5]6–9); V cap. A 11, 12; H^{I} cap. A 10, 12; L^{c} cap. A 8, 12; PG 95, 1137, 23–26 **13 – 15 II¹196** K cap. A 4, 11 (71v[9]10–11); V^{E}V^{O} cap. A 11, 18; V^{W} cap. A 11, 17; H^{I} cap. A 10, 18; L^{c} cap. A 8, 18; PG 95, 1137, 34–35

II¹194 (a) K (b) *s. a.* V H^{I} (c) *s. d.* L^{c} **II¹195** (a) K (b) *s. a.* V H^{I} L^{c} **II¹196** (a) K (b) Ἀμώς V H^{I} L^{c} ἀμμῶς V^{W}, ἀμῶς H^{I}

---

3 Τείσομαι] *scripsi (*II²1281 / T cap. E 8, 3 *et LXX)*, τίσομαι K V H^{I} L^{c} **4** ἵνά σοι L^{c}, ἵνα σε V^{E}V^{O} H^{I} βοηθήσει V^{O} **8** ἐὰν] *praem.* καὶ V H^{I}

II[1]197 / K cap. A 4, 12

Ἡσαΐου προφήτου·

Ἀκούσατε τὸ ῥῆμα κυρίου, οἱ τρέμοντες τὸν λόγον αὐτοῦ. Εἴπατε· Ἀδελφοὶ ἡμῶν, τοῖς μισοῦσιν ὑμᾶς καὶ βδελυσσομένοις, ἵνα τὸ ὄνομα κυρίου δοξασθῇ καὶ ὀφθῇ ἐν εὐφροσύνῃ ὑμῶν, καὶ ἐκεῖνοι αἰσχυνθήσονται.

<II[1]suppl. 160–162 / V cap. A 11, 28–29; 33>

II[1]198 / K cap. A 4, 13

Ἐκ τῆς πρὸς Ῥωμαίους ἐπιστολῆς·

…μηδενὶ κακὸν ἀντὶ κακοῦ ἀποδιδόντες, προνοούμενοι καλὰ ἐνώπιον πάντων ἀνθρώπων.

II[1]199 / K cap. A 4, 14

Τῆς αὐτῆς·

Μὴ νικῶ ὑπὸ τοῦ κακοῦ, ἀλλὰ νίκα ἐν τῷ ἀγαθῷ τὸ κακόν.

---

7 II[1]suppl. 160–162 cf. *Sacra*. Liber II. *Supplementum* (Band VIII/8) **14** exstat etiam ap. Ps.-Max. Conf., *Loci communes*, 1.2./2. (ed. Ihm, p. 7)

---

3 – 6 II[1]197 Is. 66, 5 (Wahl, *Prophetenzitate*, p. 476) **10 – 11 II[1]198** Rom. 12, 17 **14 II[1]199** Rom. 12, 21

---

2 – 6 II[1]197 K cap. A 4, 12 (71v[11]12–16); $V^{E}V^{O}$ cap. A 11, 19; V^{W} cap. A 11, 18; H^{I} cap. A 10, 19; L^{c} cap. A 8, 19; PG 95, 1137, 36–40 **9 – 11 II[1]198** K cap. A 4, 13 (71v[16]17–18); $V^{E}V^{O}$ cap. A 11, 36; V^{W} cap. A 11, 33; H^{I} cap. A 10, 36; L^{c} cap. A 8, 37; PG 95, 1141, 3–4 **13 – 14 II[1]199** K cap. A 4, 14 (71v[18]19–20); $V^{E}V^{O}$ cap. A 11, 37; V^{W} cap. A 11, 34; H^{I} cap. A 10, 37; L^{c} cap. A 8, 38; PG 95, 1141, 5–6

II[1]197 (a) K (b) Ἡσαΐου V H^{I} ἡσαϊου V^{W}, ἠσαΐου H^{I} (c) Τοῦ αὐτοῦ L^{c} **II[1]198** (a) K (b) Τοῦ αὐτοῦ L^{c} (c) *s. a.* V H^{I} **II[1]199** (a) K (b) Τοῦ αὐτοῦ L^{c} (c) *s. a.* V H^{I}

---

3 τὸ] *om.* $V^{E}V^{O}$ H^{I} L^{c} **4** ἀδελφοί μου V H^{I} L^{c} **5** ὀφθῇ] *add.* ὑμῶν V^{O} ὑμῶν] ἡμῶν V^{O} ἐκείνα V^{O} **10** ἀνταποδίδοντες V^{W} προνοούμενα K **11** πάντων] κυρίου καὶ $V^{E}V^{O}$ H^{I} L^{c}, τῶν V^{W}

<II[1]suppl. 163 / V cap. A 11, 38>

II[1]200 / K cap. A 4, 15

*II[2]119 / T cap. A 5, 21

Ἐκ τῆς πρὸς Γαλάτας·

Ὡς καιρὸν ἔχομεν, ἐργασώμεθα τὸ ἀγαθὸν πρὸς πάντας, μάλιστα δὲ πρὸς τοὺς οἰκείους τῆς πίστεως.

II[1]201 / K cap. A 4, 16

Ἐκ τῆς πρὸς Τίτον ἐπιστολῆς·

Πιστὸς ὁ λόγος, καὶ περὶ τούτων βούλομαί σε διαβεβαιοῦσθαι, ἵνα φροντίζωσιν καλῶν ἔργων προΐστασθαι οἱ πεπιστευκότες τῷ θεῷ· ταῦτα γάρ ἐστιν καλὰ καὶ ὠφέλιμα τοῖς ἀνθρώποις.

II[1]202 / K cap. A 4, 17

Ἐκ τῆς Πέτρου πρώτης ἐπιστολῆς·

Τίς ὁ κακώσων ὑμᾶς, ἐὰν τοῦ ἀγαθοῦ ζηλωταὶ γένησθε; Ἀλλ᾽ εἰ καὶ πάσχετε διὰ δικαιοσύνην, μακάριοι.

---

1 II[1]suppl. 163 cf. *Sacra*. Liber II. *Supplementum* (Band VIII/8)

4 – 5 II[1]200 Gal. 6, 10 **8 – 10 II[1]201** Tit. 3, 8 **13 – 14 II[1]202** I Petr. 3, 13–14

3 – 5 II[1]200 K cap. A 4, 15 (71v[20]21–23); $V^{E}V^{O}$ cap. A 11, 40; H^{I} cap. A 10, 40; *deest in* V^{W} L^{c}; PG 95, 1141, 10–12 **7 – 10 II[1]201** K cap. A 4, 16 (71v[23]–72r4); *deest in* V H^{I} L^{c} **12 – 14 II[1]202** K cap. A 4, 17 (72r[4]5–7); $V^{E}V^{O}$ cap. A 11, 44; V^{W} cap. A 11, 40; H^{I} cap. A 10, 44; L^{c} cap. A 8, 46; PG 95, 1141, 26–28

II[1]200 (a) K V^{O} Ἐκ τῆς] *om.* V^{O} (b) *s. a.* V^{E} H^{I} **II[1]202** (a) K (b) Πέτρου V^{W} (c) Ἐκ τῆς Ἰωάννου ἐπιστολῆς $V^{E}V^{O}$ H^{I} L^{c} Ἐκ τῆς] *om.* L^{c} ἰωαννου $V^{E}V^{O}$

4 ἐργαζώμεθα K **9** φροντίζωσιν] *scripsi (NT)*, φροντίζουσιν K **13** κακώση V^{O} ἡμᾶς V^{W} ζηλωταὶ] μϊμηταὶ V^{W} **14** πάσχοιτε V^{W}, πάσχεται V^{O} μακάριον $V^{E}V^{O}$ H^{I} L^{c}

II[1]203 / K cap. A 4, 18

Ἐκ τῆς αὐτῆς·

…μὴ ἀποδιδόντες κακὸν ἀντὶ κακοῦ, μὴ λοιδορίαν ἀντὶ λοιδορίας, τοὐναντίον δὲ εὐλογοῦντες, ὅτι εἰς τοῦτο ἐκλήθητε, ἵνα εὐλογίαν κληρονομήσητε.

*II[2]124 / T cap. A 5, 26

II[1]204 / K cap. A 4, 19

Ἐκ τῆς Ἰωάννου α′ ἐπιστολῆς·

Ἀγαπητέ, μὴ μιμοῦ τὸ κακόν, ἀλλὰ τὸ ἀγαθόν. Ὁ ἀγαθοποιῶν ἐκ τοῦ θεοῦ ἐστιν, ὁ δὲ κακοποιῶν οὐχ᾽ ἑώρακε τὸν θεόν.

II[1]205 / K cap. A 4, 20

Τοῦ ἁγίου Βασιλείου, ἐκ τοῦ περὶ ὀργῆς·

Μὴ γίνου τοῦ κακοῦ πληρωτὴς ἐράνου, μὴ δὲ πονηροῦ δανείου πονηρότερος ἐκτιστής.

---

3 – 5 II[1]203 I Petr. 3, 9 **8 – 9 II[1]204** I Ioh., re vera III Ioh. 11 **12 – 13 II[1]205** Basilius Caesariensis, *Homilia adversus eos qui irascuntur*, 3 (PG 31, 357, 26–28)

---

2 – 5 II[1]203 K cap. A 4, 18 (72r[7]8–11); V[E]V[O] cap. A 11, 45; H[I] cap. A 10, 45; L[c] cap. A 8, 47; *deest in* V[W]; PG 95, 1141, 28–30 **7 – 9 II[1]204** K cap. A 4, 19 (72r[11]12–14); V[E]V[O] cap. A 11, 46; V[W] cap. A 11, 41; H[I] cap. A 10, 46; L[c] cap. A 8, 48; PG 95, 1141, 31–33 **11 – 13 II[1]205** K cap. A 4, 20 (72r[14]15–16); *deest in* V H[I] L[c]

II[1]203 (a) K (b) *s. a.* V H[I] (c) *s. d.* L[c] **II[1]204** (a) K α′] *sic* K (b) Ἰωάννου V[W] (c) Τοῦ αὐτοῦ L[c] (d) *s. a.* V[E]V[O] H[I]

---

3 ἀποδιδόντες] ἀποδῖδοτε L[c ut videtur] **8** ἀγαθὰ ποιῶν K[a. c.], ἀγαθὸ ποιῶν K[p. c.]

II¹206 / K cap. A 4, 21

*II²127 / T cap. A 5, 29

Ἐκ τοῦ εἰς τὸν μακάριον Γόρδιον·

Ὥσπερ τῷ φωτὶ αὐτομάτως ἔπεται τὸ φωτίζειν, καὶ τῷ μύρῳ τὸ εὐωδεῖν, οὕτω καὶ ταῖς ἀγαθαῖς πράξεσιν ἀναγκαίως ἀκολουθεῖ τὸ ὠφέλιμον.

II¹207 / K cap. A 4, 22

*II²128 / T cap. A 5, 30

Ἐκ τοῦ εἰς τὸν ξα′ ψαλμόν·

Οἱ τὸ ἀγαθὸν ἐργαζόμενοι, ἐν αὐτῷ τῷ ἔργῳ τὸ ἀπόδεκτον ἔχουσιν.

II¹208 / K cap. A 4, 23

Ἐκ τοῦ εἰς τὴν Ἑξαήμερον ζ′·

Μηδεὶς ἄγνοιαν προφασιζέσθω περὶ τὸ ἀγαθόν· φυσικὸς λόγος, οἰκείωσιν ἡμῖν τοῦ καλοῦ καὶ ἀλλοτρίωσιν ἀπὸ τῶν βλαβερῶν ὑποδεικνύων, ἐγκατέσπαρται.

---

3 – 5 II¹206 Basilius Caesariensis, *In Gordium martyrem*, 2 (PG 31, 493, 2–5) **8 – 9 II¹207** Basilius Caesariensis, re vera *Homilia in Psalmum I*, 3 (PG 29, 217, 18–19) **12 – 14 II¹208** Basilius Caesariensis, *Homiliae in Hexaemeron*, VII, 5 (ed. Mendieta†/Rudberg, p. 121, 13–14)

---

2 – 5 II¹206 K cap. A 4, 21 (72r[17]18–20); $V^{E}V^{O}$ cap. A 11, 47; V^{W} cap. A 11, 42; H^{I} cap. A 10, 47; L^{c} cap. A 8, 49; PG 95, 1141, 34–36 **7 – 9 II¹207** K cap. A 4, 22 (72r[21]23–24); $V^{E}V^{O}$ cap. A 11, 48; V^{W} cap. A 11, 43; H^{I} cap. A 10, 48; L^{c} cap. A 8, 50; PG 95, 1141, 37–38 **11 – 14 II¹208** K cap. A 4, 23 (72r[24]–72v4); $V^{E}V^{O}$ cap. A 11, 49; V^{W} cap. A 11, 44; H^{I} cap. A 10, 49; L^{c} cap. A 8, 51; PG 95, 1141, 39–42

II¹206 (a) K (b) Τοῦ ἁγίου Βασιλείου L^{c} (c) Βασιλείου V H^{I} βασιλειος H^{I} **II¹207** (a) K ξα′] *sic* K (b) Τοῦ αὐτοῦ $V^{E}V^{O}$ H^{I} (c) *s. a.* L^{c} (d) *s. d.* V^{W} **II¹208** (a) K (b) Τοῦ αὐτοῦ, εἰς τὴν Ἑξαήμερον $V^{E}V^{O}$ (c) Ἐκ τῆς Ἑξαημέρου L^{c} (d) Τοῦ αὐτοῦ H^{I} (e) *s. a.* V^{W}

---

3 φωτὶ] πϋρῖ L^{c} *(cf. ed.)* **4** καὶ] *om.* V^{W} **8** τῶν ἀγαθῶν V^{O} τῷ] τὸ $V^{E}V^{O}$ ἀπόδεκτον] *sic acc.* K V H^{I}, εὐπρόσδεκτον L^{c} **12** προφασίζεσθαι V^{O}

*II[2]130 / T cap. A 5, 32

II[1]209 / K cap. A 4, 24

Τοῦ ἁγίου Γρηγορίου τοῦ θεολόγου, ἐκ τῶν μονοστίχων Γνωμῶν·

Ζήτει θεοῦ σοι χρηστότητα, χρηστὸς ὤν.

II[1]210 / K cap. A 4, 25

Ἐκ τῶν τετραστίχων Γνωμῶν·

Τί χρηστότητος δόγμα συντομώτερον;
Τοιοῦτος ἴσθι τοῖς φίλοις καὶ τοῖς πέλας,
Οἵους σεαυτῷ τούσδε τυγχάνειν θέλοις.

II[1]211 / K cap. A 4, 26

Ἐκ τῶν αὐτῶν·

Πᾶσιν μὲν ἴσθι χρηστός, εἰ τοῦτο σθένος,
Πλέον δὲ τοῖς ἔγγιστα. Τοῦ χάριν λέγω;

---

3 exstat etiam ap. Ps.-Max. Conf., *Loci communes*, 50.9./57.9. (ed. Ihm, p. 823) **6 – 8** exstat ibid., 50.10./57.10. (p. 823) **11** Πᾶσιν – χρηστός] exstat ibid., 50.8./57.8. (p. 823) **12** Πλέον – ἔγγιστα] exstat ibid., 50.8./57.8. (p. 823)

---

3 II[1]209 Gregorius Nazianzenus, *Carmina*, I,2,30 *(Versus iambici acrostichi)*, 6 (PG 37, 909, 5) **6 – 8 II[1]210** Gregorius Nazianzenus, *Carmina*, I,2,33 *(Tetrastichae sententiae)*, 173–175 (PG 37, 940, 13 – 941, 1) **11 – 187, 2 II[1]211** Gregorius Nazianzenus, *Carmina*, I,2,33 *(Tetrastichae sententiae)*, 201–204 (PG 37, 942, 13 – 943, 2)

---

2 – 3 II[1]209 K cap. A 4, 24 (72v[4]5); *deest in* V H^{I} L^{c} **5 – 8 II[1]210** K cap. A 4, 25 (72v[5]6–8); $V^{E}V^{O}$ cap. A 11, 63; V^{W} cap. A 11, 54; H^{I} cap. A 10, 63; L^{c} cap. A 8, 75; PG 95, 1144, 28–30 **10 – 187, 2 II[1]211** K cap. A 4, 26 (72v[8]9–12); *deest in* V H^{I} L^{c}

II[1]210 (a) K (b) Ἐκ τῶν Γνωμῶν $V^{E}V^{O}$ Γνωμῶν] *scripsi*, γνώμων $V^{E}V^{O}$ (c) Ἐκ τῶν γνωμικῶν H^{I} L^{c} (d) *s. a.* V^{W}

---

6 δόγμασϊ V^{O} **8** ἑαυτῶ $V^{E}V^{O}$ H^{I} θέλεις V^{W} L^{c}, θέλων V^{O}

Τίς ἄν <σε> πιστεύσειε τοῖς ξένοις καλὸν
Εἶναι τὸν οὐ [καλὸν] δίκαιον, οἷς ὀφείλεται;

<II[1]suppl. 164 / V cap. A 11, 64>

II[1]212 / K cap. A 4, 27

Τοῦ μακαρίου Ἰωάννου, ἐκ τοῦ κατὰ τῶν θεάτρων·

Ἓν μόνον σκοπῶμεν, ἀδελφοί, οὐχ' ὅπως μηδὲν πάθωμεν παρὰ τῶν ἐχθρῶν κακόν, ἀλλ' ὅπως μηδὲν αὐτοὺς ἡμεῖς ἐργασώμεθα κακόν.

II[1]213 / K cap. A 4, 28

Τοῦ αὐτοῦ·

Τότε μείζους ἡμῖν παρὰ τοῦ θεοῦ κείσονται αἱ ἀντιδόσεις, ὅταν μυρία τοὺς ἐχθροὺς ἀγαθὰ ποιήσαντες, τἀναντία ἀπολάβωμεν.

---

3 II[1]suppl. 164 cf. *Sacra*. Liber II. *Supplementum* (Band VIII/8)

---

6 – 8 II[1]212 Iohannes Chrysostomus, *De Davide et Saule*, III *(Contra theatra)*, 3, 47–49 (ed. Barone, p. 57–58) **11 – 12 II[1]213** Iohannes Chrysostomus, *De Davide et Saule*, III *(Contra theatra)*, 8, 61–63 (ed. Barone, p. 73)

---

5 – 8 II[1]212 K cap. A 4, 27 (72v[12]13–15); $V^{E}V^{O}$ cap. A 11, 67; V^{W} cap. A 11, 58; H^{I} cap. A 10, 67; L^{c} cap. A 8, 85; PG 95, 1144, 51 – 1145, 1 **10 – 12 II[1]213** K cap. A 4, 28 (72v[15]16–18); $V^{E}V^{O}$ cap. A 11, 69; V^{W} cap. A 11, 59; H^{I} cap. A 10, 69; L^{c} cap. A 8, 87; PG 95, 1145, 7–9

II[1]212 (a) K (b) Ἐκ τοῦ λόγου τοῦ μὴ ἀναβαίνειν *(*-βαίνην V^{E}, -βῆναι V^{O}*)* εἰς θέατρα $V^{E}V^{O}$ H^{I} (c) Ἐκ τοῦ μὴ ἀναβαίνειν εἰς θέατρα λόγου L^{c} (d) *s. a.* V^{W} **II[1]213** (a) K $V^{E}V^{O}$ H^{I} (b) *s. a.* V^{W} L^{c}

---

1 ἄν σε πιστεύσειε] *correxi (ed.)*, ἂν πιστεύει K **2** Εἶναι] *dodecasyllabo praecedenti hoc verbum adiungitur in* K καλὸν] *seclusi (cf. ed.)* **6** σκοπῶμεν] στοχάζομεν V^{O} p. c. man. rec. ut videtur παρὰ] περὶ V^{W} **7** αὐτοὺς] αὐτοῖς K V^{W} **11** Τότε] πότε K αἱ] *om.* V^{W} **12** τοὺς ἐχθροὺς] τοῖς ἐχθροῖς K ἀγαθὰ ποιήσαντες] ἀγαθοποιήσαντες V^{W}, ἀγαπήσαντες L^{c} ἀπολάβωμεν] ἀντιλάβωμεν $V^{E}V^{O}$ p. c. H^{I} L^{c}

II[1]214 / K cap. A 4, 29

Ἐκ τοῦ αὐτοῦ·

Ὅταν λάβῃς τὸν ἐχθρὸν εἰς τὰς χεῖρας τὰς σάς, μὴ σκόπει ὅπως αὐτὸν ἀμυνάμενος καὶ μυρίαις πλύνας λοιδορίαις ἐκπέμψῃς, ἀλλ᾽ ὅπως ἐπαναγάγῃς πρὸς ἐπιείκειαν· καὶ μὴ πρότερον ἀποστῇς, ἕως ἂν περιγένῃ τῇ πραότητι τῆς ὠμότητος τῆς ἐκείνου.

<II[1]suppl. 165–170 / V cap. A 11, 70–73; 75–76>

II[1]215 / K cap. A 4, 30

Κλήμεντος, ἐκ τοῦ <β′ Στρώματος>·

Φίλῳ μὲν κοινωνητέον, ἵν᾽ ἔτι καὶ μᾶλλον περιμένῃ φίλος, ἐχθρῷ δὲ ἐπικουρητέον, ἵνα μηκέτι μένῃ ἐχθρός· ἐπικουρία γὰρ εὐνοίᾳ μὲν συνδεῖται, λύεται δὲ ἔχθρᾳ.

---

7 **II[1]suppl. 165–170** cf. *Sacra*. Liber II. *Supplementum* (Band VIII/8)

---

3 – 6 **II[1]214** Iohannes Chrysostomus, *De Davide et Saule*, III *(Contra theatra)*, 7, 37–41 (ed. Barone, p. 69) **10 – 12** **II[1]215** Clemens Alexandrinus, *Stromata*, II. Cap. XIX.102, 4 (ed. Stählin/Früchtel/Treu, p. 169, 9–11); Holl, n° 227

---

4 – 5 II[1]399 Dionysius Alexandrinus, *Epistula ad Aphrodisium*, locus non repertus (ed. Feltoe, Z. V, 2 [p. 255, 1–3]); Holl, n° 370 **8 – 9 II[1]400** Eusebius Caesariensis, *Praeparatio evangelica*, V 4, 7 (ed. Mras, I, p. 229, 5–6) **12 – 276, 2 II[1]401** Philo Iudaeus, *Legum allegoriae*, IV, locus non repertus; Royse 171; Id., *Spurious Texts*, n° 30 (p. 97)

2 – 5 II[1]399 K cap. A 22, 38 (93r[2]3–5); *deest in* V H[I] L[c] PML[b] T H[III]; PG 86, 2069, 38–42 **7 – 9 II[1]400** K cap. A 22, 39 (93r[5]6–8); *deest in* V H[I] L[c] PML[b] T H[III] **11 – 276, 2 II[1]401** K cap. A 22, 40 (93r[8]9–11); V[E] cap. A 30, 13; V[W] cap. A 30, 27; V[O] cap. A 30, 26; H[I] cap. A 28, 27; L[c] cap. A 18, 34; PML[b] cap. A 27, 27; T cap. A 50, 20; R cap. A 28, 16; *deest in* H[III]; PG 86, 2069, 43–46; PG 95, 1233, 31–33

II[1]399 διονυσιου K **II[1]400** τῆς[2]] *delevi* **II[1]401** (a) K (b) Φίλωνος V[E]V[W] H[I] L[c] PML[b] T R φιλωνος M (c) *s. a.* V[O]

8 φαῦλα] *cf. etiam* II[1]449 / K cap. A 28, 7, φίλα *ed.* **12** ὑπάρχειν R τῇ] τὴν V[O]

τὸν θεὸν ἀγάπῃ, ὡς ἀμήχανον συνυπάρχειν ἀλλήλοις φῶς καὶ σκότος.

II[1]402 / K cap. A 22, 41

Ἐκ τῶν περὶ τῶν μετονομαζομένων·

Πολλὰ καὶ ἄπειρα τὰ τοῦ κόσμου κακὰ καὶ τὰ ῥυπαίνοντα τὴν ψυχήν, ἅπερ ἐκνίψασθαι καὶ ἀπολούσασθαι παντελῶς οὐκ ἔνεστιν. Ἀπολείπονται γὰρ ἐξ ἀνάγκης παντὶ θνητῷ συγγενεῖς κῆρες, <ἃς> λωφῆσαι μὲν [γὰρ] εἰκός, ἀναιρεθῆναι δὲ εἰς ἅπαν ἀμήχανον.

1 – 2 cf. II Cor. 6, 14

5 – 9 II[1]402 Philo Iudaeus, *De mutatione nominum*, 49 (ed. Wendland, p. 165, 14–17)

4 – 9 II[1]402 K cap. A 22, 41 (93r[11]12–17); *deest in* V H[I] L[c] PML[b] T H[III]

1 τὸν] *om.* K L[b] ἀγάπην V[O] ἀλλήλοις] *post* σκότος *transpos.* H[I] φῶς] προσφῶς V[O] **6** ἐκνίψασθαι] *scripsi*, ἐκνήψασθαι K **7 – 8** κῆρες, ἃς] *correxi (ed. et cf.* II[1]495 / K cap. B 1, 31*)*, κῆραι· K **8** λωφῆσαι] *scripsi*, λοφίσαι K γὰρ] *delevi (ed. et cf.* II[1]495 / K cap. B 1, 31*)* ἅπαν] *correxi (ed. et cf.* II[1]495 / K cap. B 1, 31*)*, ἅπαξ K

Τίτλος κγ′ Περὶ ἀστρονόμων.

*II² / T cap. A 43

II¹403 / K cap. A 23, 1

*II²531 / T cap. A 43, 1

Ἡσαΐου προφήτου·

Στήτωσαν καὶ σωσάτωσάν σε οἱ ἀστρολόγοι τοῦ οὐρανοῦ, οἱ ὁρῶντες τοὺς ἀστέρας, καὶ ἀναγγειλάτωσάν σοι τί μέλλει ἐπεισέρχεσθαι.

II¹404 / K cap. A 23, 2

*II²531 / T cap. A 43, 1

Τοῦ αὐτοῦ·

Ποῦ εἰσὶν οἱ γραμματικοί; Ποῦ εἰσὶν οἱ συμβουλεύοντες; Ποῦ ἐστιν ὁ ἀριθμῶν τοὺς <συ>στρεφομένους;

II¹405 / K cap. A 23, 3

Τοῦ ἁγίου Μεθοδίου, ἐκ τῶν περὶ ἁγνείας συμποσίων·

Πάντων τῶν κακῶν μέγιστον, ἔμφυτον πολλοῖς, τὸ τὰς αἰτίας τῶν ἁμαρτημάτων εἰς τὰς τῶν ἀστέρων κινήσεις φέρειν, καὶ τὸν βίον ἡμῶν οἰακίζεσθαι τῆς εἱμαρμένης ταῖς ἀνάγκαις λέγειν, καθάπερ οἱ μετ᾽ ἀλαζονείας ἀστεροσκοπήσαντες. Ὑπονοίᾳ γὰρ μᾶλ-

1 Περὶ ἀστρονόμων] cf. II¹ / K^{pin} Παραπομπὴ I 1

4 – 6 II¹403 Is. 47, 13 (Wahl, *Prophetenzitate*, p. 413–414) **9 – 10 II¹404** Is. 33, 18 (Wahl, *Prophetenzitate*, p. 375) **13 – 278, 2 II¹405** Πάντων – ἐξηπατήθησαν] Methodius Olympius, *Symposia de castimonia (Convivium decem virginum)*, Λόγος η′, XIII, 37–43 (ed. Musurillo, p. 236–238)

1 Titlos K (93r17–18) **3 – 6 II¹403** K cap. A 23, 1 (93r[18]19–21) **8 – 10 II¹404** K cap. A 23, 2 (93r[21]22–23) **12 – 283, 14 II¹405** K cap. A 23, 3 (93v[1]2–98r4)

II¹405 συμποσίων] *correxi*, συμποσιου K *(*-ου *a man. rec. ut videtur)*

5 ὁρῶντες] *correxi (**II² = *LXX)*, εὑρόντες K **5 – 6** ἐπεισέρχεσθαι] ἐπὶ σὲ ἔρχεσθαι *II² *et ed.* **10** συστρεφομένους] *scripsi (**II²*)*, στρεφομένους K **14** φέρειν] *sic* K, ἀναφέρειν *ed.*

λον ἢ τῷ φρονεῖν πεπιστευκότες, ὃ μεταξὺ τῆς ἀληθείας ἐστὶ καὶ τοῦ ψεύδους, πολὺ τῆς τῶν ὄντων ὄντως θέας ἐξηπατήθησαν, ἀμφισβητοῦντες ὡς οὐκ ἀληθῆ λέγομεν αὐτεξούσιον εἶναι τὸν ἄνθρωπον, ὅτι σφῇσιν ἀτασθαλίῃσιν ὑπέρμορον ἄλγε᾽ ἔχουσιν, αἱρούμενοι τὰ ἡδέα πρὸ τῶν συμφερόντων.

Φάσκουσι τοίνυν ὥσπερ σφαίρας ἐντόρνου στροφα<ῖ>ς ἀπεικάζεσθαι τὴν περιφέρειαν τοῦ κόσμου, τῆς γῆς κέντρου καὶ σημείου τόπον ἐχούσης. Περιφορᾶς γὰρ οὔσης σφαιρικῆς, ἀνάγκη, φασίν, κατὰ τὰς ὁμοίας διαστάσεις τῶν αὐτῶν ὄντων διαστημάτων, μέσην τοῦ παντὸς τὴν γῆν τυγχάνειν, περὶ ἣν ὁ οὐρανὸς περιδινεῖται, προγενεστέραν οὖσαν. Εἰ γὰρ ἐκ σημείου καὶ κέντρου περιφέρεια συνέστηκεν, ὃ δὴ κύκλος εἶναι δοκεῖ, ἀδύνατον δὲ χωρὶς σημείου καταγραφῆναι κύκλον, κύκλος δὲ ἔσεσθαι <ἀ>δύνατον ἄνευ σημείου, πῶς οὐ πρὸ πάντων ἡ γῆ, φασίν, συνέστηκεν, καὶ τὸ κατ᾽ αὐτὴν χάος καὶ βάθος;

Εἰς χάος γὰρ ὄντως καὶ βάθος κατωλίσθησαν οἱ σχέτλιοι πλάνης, *ὅτι γνόντες τὸν θεόν, οὐχ᾽ ὡς θεὸν ἐδόξασαν ἢ ηὐχαρίστησαν, ἀλλ᾽ ἐματαιώθησαν ἐν τοῖς διαλογισμοῖς αὐτῶν, καὶ ἐσκοτίσθη ἡ ἀσύνετος αὐτῶν καρδία*, καὶ ταῦτα καὶ τῶν παρ᾽ αὐτοῖς εἰρηκότων σοφῶν ὡς οὐδὲν Ὀλυμπίων ἐντιμότερον †γενέσθαι†.

Οὐκ ἀεὶ παῖδες ὄντως οἱ Χριστὸν ἐγνωκότες, καθάπερ Ἕλληνες, οἳ μύθοις μᾶλλον καὶ πλάσμασι ἢ τέχνῃ τῶν λόγων τὴν ἀλήθειαν χώσαντες, καὶ τοῖς οὐρανίοις τὰς τῶν ἀνθρώπων προσαρμόσαντες συμφοράς, οὐδὲ<ν> αἰσχύνονται καταγράφοντες τὴν τῆς οἰκουμένης περιφορὰν γεωμετρικοῖς θεωρήμασι καὶ σχήμασι, καὶ τὸν οὐρανὸν εἰδώλοις πτηνῶν καὶ νηκτῶν καὶ χερσαίων

4 – 5 Hom., *Od.*, I, 34 **6 – 7** Plat., *Leg.* X, 898b2 **17 – 19** Rom. 1, 21 **20** Plat., *Leg.* V, 727e1 **21 – 22** Id., *Tim.*, 22b4 – 5

2 – 5 ἀμφισβητοῦντες – συμφερόντων] Methodius Olympius, *Symposia de castimonia (Convivium decem virginum)*, Λόγος η′, XIII, 47–50 (ed. Musurillo, p. 238) **6 – 283, 14** Φάσκουσι – ἔχοντες] Ibid., Λόγος η′, XIV, 4 – XVI, 63 (p. 238 –252)

1 τῷ] *correxi (ed.)*, τὸ K ὃ] *scripsi (ed. in app. crit.)*, ἃ K **4** σφῇσιν] *correxi (ed.)*, σφίσιν K **6** ἐντόρνου] *correxi (ed.)*, ἐν τόρνω K στροφαῖς] *correxi (ed.)*, στροφὰς K **8** ἐχούσης] *correxi (ed.)*, ἔχουσιν K **9** φασίν] *correxi (ed.)*, φησὶν K κατὰ] *correxi (ed.)*, καὶ K **11** περιδινεῖται] *correxi (ed.)*, περιδείνεται K **12** περιφέρεια] *correxi (ed.)*, περιφερείας K **14** ἀδύνατον] *correxi (ed.)*, δυνατὸν K φασίν] *correxi (ed.)*, φησὶν K **20** †γενέσθαι†] *cruces apposui*, *sic* K, γηγενές *ed.* **22** οἳ] *correxi*, οἱ K *(= ed.)* μᾶλλον] *in mg.* K ἢ] *correxi (ed.)*, τῆι K **24** οὐδὲν] *scripsi (ed.)*, οὐδὲ K

εἰσηγούμενοι κεκοσμῆσθαι, καὶ τὰς ποιότητας τῶν ἀστέρων ἐκ τῶν περὶ τοὺς ἀρχαίους ἀνθρώπους συμφορῶν κατεσκευάσθαι, ὥστε τὰς τῶν πλανητῶν αὐτοῖς κινήσεις ἐκ τοιούτων ἠρτῆσθαι σωμάτων.

Εἱλίσσεσθαι γὰρ περὶ τὴν τῶν δώδεκα ζωδίων φύσιν φασὶ τοὺς ἀστέρας, ἑλκομένους τοῦ ζωδιακοῦ κύκλου τῇ φορᾷ, ὡς καὶ διὰ τῆς συγκράσεως αὐτῶν ὁρᾶσθαι τὰ ἀποβαίνοντα πολλοῖς κατὰ τὰς πρὸς ἀλλήλους αὐτῶν συναφάς τε καὶ ἀπορροίας, ἀνατολάς τε αὖ καὶ δύσεις. Σφαιροειδὴς γὰρ ὑπάρχων πᾶς ὁ οὐρανὸς καὶ κέντρῳ καὶ σημείῳ κατ᾽ αὐτοὺς τῇ γῇ χρώμενος, διὰ τὸ πάσας ἀπὸ τῆς περιφορᾶς τὰς προ<σπι>πτούσας εὐθείας ἐπὶ τὴν <γῆν> ἴ<σα>ς ἀλλήλαις εἶναι, ὑπὸ τῶν περιεχόντων αὐτὸν διακρατεῖ-<ται> κύκλων· ὧν μείζων μὲν ὁ μεσημβρινὸς δοκεῖ, καὶ δεύτερος ὁ <εἰς> ἴσα τέμνων μέρη καλούμενος ὁρίζων, τρίτος δὲ ὁ τούτους ἐπιδιαιρῶν ἰσημερινός. Παρ᾽ ἑκάτερα τούτου τροπικοὶ δύο, θερινὸς καὶ χειμερινός, καὶ ὁ μὲν πρὸς τοῖς ἀρκτ<ί>οις, ὁ δὲ πρὸς τοῖς νοτίοις. Κατὰ δὲ τούτων ὁ λεγόμενος ἄξων, περὶ ὃν αἵ τε Ἄρκτοι ὅ τε Ἀνταρκτικός, ἔξωθεν τῶν τροπικῶν. Καὶ αἱ μὲν Ἄρκτοι, περὶ αὐτὸν στρεφόμεναι καὶ βρίθουσαι τὸν διὰ τῶν πόλων ἄξονα, τὴν τοῦ παντὸς ἀπεργάζονται κίνησιν κόσμου, κατὰ τὰς ἀλλήλων ἰξύας ἔχουσαι τὰς κεφαλάς, καὶ ἄχραντοι τοῦ καθ᾽ ἡμᾶς ὁρίζοντος οὖσαι τῷ τὸν κύκλον ζωδιακὸν πάντων ἐφάπτεσθαι τῶν κύκλων, λοξὴν ποιούμενον τὴν κίνησιν· εἶναί τε ἐν αὐτῷ ζωδίων ἀριθμόν, ἃ καλεῖται <δωδεκατημόρια> δώδεκα, ἀπὸ Κριοῦ τὴν ἀρχὴν ἔχοντα μέχρι τῶν Ἰχθύων, ἃ κατηστερίσθαι παριστᾶσιν ἐχεμύθοις αἰτίαις, τὸν μὲν Κριὸν φάσκοντες τὸν Ἕλλην εἶναι τὴν Ἀθάμαντος διακομίσαντα καὶ Φρίξον εἰς Σκύθας, τὸ δὲ Βούκρανον εἰς τιμὴν Διός, τοῦ Εὐρώπην ταύρου διαπεραιώσαντος εἰς τὴν Κρήτην,

2 κατεσκευάσθαι] *correxi (ed.)*, κατασκευάσασθαι K **7** ἀποβαίνοντα] *correxi (ed.)*, ὑποβαίνοντα K **10** κατ᾽ αὐτοὺς] *correxi (ed.)*, καταυτοῦ K **11** προσπιπτούσας] *correxi (ed.)*, προπτούσας K γῆν] *supplevi (ed.)*, *om.* K **12** ἴσας] *correxi (ed.)*, εἰς K **12 – 13** διακρατεῖται] *correxi (ed.)*, διακρατεῖ K **14** εἰς] *supplevi (ed.)*, *om.* K **16** τοῖς ἀρκτίοις] *correxi (ed.)*, ταῖς ἄρκτοις K **19** αὐτὸν] *correxi (ed.)*, αὐτὰ K πόλων] *correxi (ed.)*, πολλῶν K **20** ἀπεργάζονται] *correxi (ed.)*, ἀπεργάζεται K **21** τοῦ] *om.* K$^{a. c.}$ **22** οὖσαι – τὸν] *correxi (ed.)*, οὓς ἄτοπον K ζωδιακὸν] *correxi (ed.)*, ζωτικὸν K **23** ποιούμενον] *correxi (ed.)*, ποιούμενος K **24** δωδεκατημόρια] *supplevi (ed.)*, *om.* K **25** κατηστερίσθαι] *correxi (ed.)*, καταστερεῖσθαι K παριστᾶσιν] *correxi (ed.)*, παρίστησιν K ἐχεμύθοις] *correxi (ed.)*, ἔχει μύθοις K **26** Ἕλλην] *correxi (ed.)*, ἑλλήνην K **27** διακομίσαντα] *correxi (ed.)*, διακοσμήσαντα K

καὶ τὸν καλούμενον Γαλαξίαν κύκλον, ὃς τὴν ἀρχὴν ἀπὸ τοῦ συνδέσμου τῶν Ἰχθύων ἐπὶ τὸν Κριὸν ποιεῖ, ἐκ τῶν τῆς Ἥρας μαζῶν Ἡρακλεῖ προχυθῆναι Διὸς ταγαῖς· ὥστε κατ᾽ αὐτοὺς πρὸ τῆς Εὐρώπης καὶ Φρίξου καὶ τοῖν Διοσκούροιν καὶ τῶν ἄλλων ζωδίων τῶν ἐξ ἀνθρώπων καὶ θηρίων καταστερισθέντων, οὔπω γένεσις ἦν, ἀλλὰ χωρὶς γενέσεως ἐβίωσαν ἡμῶν οἱ παλαιότεροι. Ἐπιχειρητέον γάρ, μήπως τὸ ψεῦδος ἰσχύσωμεν, ὥσπερ ἰατροὶ φαρμάκοις τῶν λόγων ἀμβλύνοντες [οἱ] ἰατρικοῖς, σβέσαι, τήνδε σκοποῦντες τὴν ἀλήθειαν.

Εἰ κρεῖσσον ἦν τὸ ὑπὸ γένεσιν εἶναι τοὺς ἀνθρώπους, ὦ σχέτλιοι, τοῦ μὴ εἶναι, δι᾽ ἣν αἰτίαν οὐκ αὐτόθεν ἀφ᾽ οὗπερ τὸ γένος ἔφυ τῶν ἀνθρώπων, γένεσις ἦν; Εἰ δὲ ἦν, τίς χρεία τῶν ὑπόγυον [λάθρα] ἀστερισθέντων, Λέοντος, Καρκίνου, Διδύμων, Παρθένου, Ταύρου, Ζυγοῦ, Σκορπίου, <Κριοῦ>, Τοξότου, Ἰχθύων, Αἰγοκέρου, Ὑδροχόου, Περσέως, Κασσιοπείας, Κηφέως, Πηγάσου, Ὕδρου, Κόρακος, Κρατῆρος, Λύρας, Δράκοντος, καὶ τῶν ἄλλων, ἐξ ὧν εἰσηγεῖσθε κατακοσμηθέντων τοὺς πολλοὺς κατειληφέναι τὴν μαθηματικὴν ταύτην, μᾶλλον δὲ καταθεματικὴν πρόγνωσιν; Ἤτοι οὖν καὶ ἐπὶ τῶν ἔμπροσθεν γένεσις ἦν, καὶ μάταιος ἡ τούτων σύστασις, ἣ οὐκ ἦν, καὶ εἰς τὴν κρείσσονα κατάστασιν καὶ διαγωγὴν ὁ θεὸς τὸν βίον μετέστησεν, τῶν ἔμπροσθεν χείρονα βιωσάντων χρόνον. Ἀλλὰ κρείττους οἱ παλαιότεροι τῶν νῦν, ὅθεν καὶ χρυσοῦν ἐκλήθησαν γένος· οὐκ ἄρα γένεσις.

Εἰ ὁ ἥλιος καθιππεύων τοὺς κύκλους καὶ ἐπιπορευόμενος ἐτησίοις τὰ ζώδια περιόδοις τὰς μεταβολὰς ἀποτελεῖ καὶ τὰς τροπὰς τῶν καιρῶν, οἱ πρὸ τοῦ καταστερι<σ>θῆναι <τὰ ζώδια γεγονότες

---

3 ταγαῖς] *correxi (ed.)*, σταγαῖς K αὐτοὺς] αὐτὸς K[a. c. man. rec.] **4** τοῖν Διοσκούροιν] *correxi (ed.)*, τοὺς διοσκόροιν K **8** τῶν λόγων] *correxi (ed.)*, τὸν λόγον K[p. c.], λόγον K[a. c.] οἱ] *seclusi (ed.)* ἰατρικοῖς] ἰατικοῖς *ed.* **10** τὸ ὑπὸ] *correxi (ed.)*, τό που K **11** δι᾽ ἣν] διὰ τίνα *coniec. Wendland* οὗπερ] *correxi (ed.)*, οὗ περὶ K τὸ γένος] *correxi (ed.)*, τοῦ ἑνὸς K **12** Εἰ] *correxi (ed.)*, ἡ K τίς χρεία] *correxi (ed.)*, τῆς χρείας K ὑπόγυον] *correxi*, ὑπογίων K **13** λάθρα] *delevi (ad glossam* ὑπόγυον *interpretandam in mg. additum, deinde mendose in textum illatum videtur)* ἀστερισθέντων] *sic* K, καταστερισθέντων *ed.* **14** Κριοῦ] *supplevi (ed.)*, *om.* K **14 – 15** Αἰγοκέρου] *sic* K, Αἰγοκέρωτος *ed.* **15** Ὑδροχόου] *scripsi*, ὑδριχώου K Περσέως] *scripsi*, πέρσεως K Κασσιοπείας] *correxi*, κασιὲπίας K Κηφέως] *scripsi*, κήφεως K **16** Κρατῆρος] *correxi*, κρατέρας K **18** ταύτην] *om.* K[a. c.] **21** τῶν] *correxi (ed.)*, τὸν K **24 – 25** ἐτησίοις] *correxi (ed.)*, στασίαις K **26** καταστερισθῆναι] *correxi (ed.)*, καταστεριθῆναι K **26 – 281, 1** τὰ – κοσμηθῆναι] *supplevi (ed.)*, *om.* K

καὶ κοσμηθῆναι> τούτοις τὸν οὐρανὸν πῶς διήρκησαν, μηδέπω θέρους, μετοπώρου, χειμῶνος, ἔαρος διακεκριμένων, δι᾽ ὧν ἡ τοῦ σώματος αὔξεται καὶ συγκρατεῖται φύσις; Ἀλλ᾽ ἔζησαν καὶ πολυχρονιώτεροι γεγόνασι καὶ ῥωμαλεώτεροι παρὰ τοὺς νῦν, ὁμοίως καὶ τότε διευθύναντος τοὺς καιροὺς τοῦ θεοῦ. Οὐκ ἄρα ὁ οὐρανὸς ἐκ τοιούτων πεποίκιλται σχημάτων.

Εἰ ὁ ἥλιος καὶ ἡ σελήνη καὶ τὰ ἄλλα ἄστρα εἰς διορισμὸν καὶ φυλακὴν ἀριθμῶν χρόνου γεγονότα καὶ κόσμον οὐρανοῦ καὶ τροπὰς καιρῶν, θεῖά ἐστι καὶ κρείττονα τῶν ἀνθρώπων, ἀνάγκη καὶ κρείττονα βίον καὶ μακάριον αὐτὰ καὶ εἰρηνικὸν καὶ πολλῷ τοῦ ἡμετέρου διαλλάσσοντα δικαιοσύνῃ καὶ ἀρετῇ διάγειν, κινούμενα κίνησιν εὔτακτον καὶ εὐδαίμονα. Εἰ δὲ τὰς τῶν θνητῶν συμφορὰς καὶ κακοφροσύνας αὐτὰ τεκταίνεται καὶ ἐνεργεῖ, περὶ τὰς ἀσελγείας ἀσχολούμενα καὶ τὰς μεταβολὰς καὶ τροπὰς τοῦ βίου, ἄρα ἀθλιώτερα τῶν ἀνθρώπων εἰσίν, εἰς τὴν γῆν βλέποντα καὶ τὰς ἐπικήρους καὶ ἀθέσμους πράξεις, καὶ μηδὲν τῶν ἀνθρώπων κρεῖττον διάγοντα, εἴγε τῆς ἐκείνων ἀπορροίας καὶ κινήσεως ὁ ἡμέτερος ἤρτηται βίος.

Εἰ πᾶσα πρᾶξις χωρὶς ἐπιθυμίας οὐ γίνεται, οὔτε μὴν ἐπιθυμία χωρὶς ἐνδείας, ἀνενδεὲς δὲ τὸ θεῖον, ἀνεννόητον ἄρα πονηρίας· καὶ εἰ ἡ τῶν ἀστέρων φύσις ἐγγυτέρω τέτακται θεοῦ, κρείσσων οὖσα τῆς τῶν κρεισσόνων ἀνθρώπων ἀρετῆς, ἀνεννόητα κακίας εἰσὶν καὶ ἀνενδεῆ τὰ ἄστρα.

Καὶ ἄλλως· πᾶς ἡμῖν ὁμολογήσει τῶν πεπιστευμένων <τὸν> ἥλιον καὶ τὴν σελήνην καὶ τοὺς ἀστέρας εἶναι θεῖα, μακρὰν ἄνω κεῖσθαι κακίας καὶ τῶν γηγενῶν πράξεων, ἀνεπίδεκτα πάθους ἡδονῆς ὄντα καὶ λύπης· οὐ γὰρ προσεῖναι τοῖς οὐρανίοις τοιαύτας ὀρέξεις βδελυκτάς. Εἰ δὲ τούτων ἐκτὸς καὶ ἀνενδεῆ πεφύκασιν, πῶς τοῖς ἀνθρώποις, ἃ μὴ αὐτὰ βούλονται καὶ ὧ<ν> ἐκτός εἰσι, τεκταίνονται; Οἱ διοριζόμενοι μὴ εἶναι τὸν ἄνθρωπον αὐτεξούσιον, ἀλλὰ ἀνάγκαις ἀφύκτοις εἱμαρμένης λέγοντες οἰακίζεσθαι καὶ ἀγράφοις προστάγμασιν, εἰς αὐτὸν ἀσεβοῦσι τὸν θεόν, παρε-

7 – 8 cf. Plat., *Tim.*, 38c5 – 6

1 διήρκησαν] *sic* K, διήρκεσαν *ed.* **2** διακεκριμένων] *correxi (ed.)*, διακεκρημένου K **9 – 10** τῶν – κρείττονα] *in mg.* K **10** αὐτὰ] *om.* K$^{a.\,c.}$ **11** τοῦ ἡμετέρου] *correxi (ed.)*, τὸν ἡμέτερον K **15** ἄρα] ἆρα K$^{a.\,c.}$ **24** ἄλλως· πᾶς] *scripsi (ed.)*, ἄλλος πᾶς K τὸν] *supplevi (ed.)*, *om.* K **25 – 26** ἄνω κεῖσθαι] ἀπῳκίσθαι *ed.* **29** ὧν] *correxi (ed.)*, ὦ K

κτικὸν τῶν ἀνθρωπίνων αὐτὸν κακῶν καὶ ποιητὴν εἰσηγούμενοι. Εἰ γὰρ τῶν ἀστέρων πᾶσαν κυκλικὴν κίνησιν ἐμμελῶς αὐτὸς ἀφράστῳ σοφίᾳ καὶ ἀνεννοήτῳ διέπει, κατευθύνων τὸν οἶακα τῆς οἰκουμένης, οἱ δὲ ἀστέρες τὰς ποιότητας τῆς κακίας καὶ τῆς ἀρετῆς ἐκτελοῦσιν τῷ βίῳ, ἀνάγκης δεσμοῖς τοὺς ἀνθρώπους ἕλκοντες εἰς ταῦτα, αἴτιον τῶν κακῶν <τὸν θεὸν> ἀποφαίνονται <καὶ> δότην· ἀλλ᾽ ἀναίτιος πᾶσιν πάσης βλάβης ὁ θεός· οὐκ ἄρα γένεσις.

Πᾶς, ὅς ἐστι κἂν βραχὺ συνετός, ὁμολογή<σει> τὸν θεὸν δίκαιον, ἀγαθόν, σοφόν, ἀληθῆ, ὠφέλιμον, ἀναίτιον κακῶν, ἀσύμπλοκον πάθους, καὶ πᾶν ὅτι τοιοῦτο· καὶ εἰ οἱ δίκαιοι κρείσσους εἰσὶ τῶν ἀδίκων καὶ ἔστιν αὐτοῖς ἡ ἀδικία βδελυκτή, εἰ χαίρει δὲ ὁ θεὸς τῇ δικαιοσύνῃ, δίκαιος ὤν, στυγητὴ δὲ αὐτῷ ἡ κακία, ἐναντίον οὖσα καὶ ἐχθρὸν τῇ δικαιοσύνῃ, οὐκ ἄρα ἀδικίας αἴτιος ὁ θεός.

Εἰ τὸ ὠφελοῦν πάντως ἐστὶν ἀγαθόν, ὠφέλιμον δὲ σωφροσύνη καὶ οἴκῳ καὶ βίῳ καὶ φίλοις, ἀγαθὸν ἄρα ἐστὶν ἡ σωφροσύνη <***>, τὸ δὲ ἐναντίον κακόν, κακὸν ἄρα <ἡ ἀκολασία. Καὶ εἰ> ἡ ἀκολασία φύσει <κακόν>, κατὰ ἀκολασίαν δὲ κακῶν μοιχείαι γίνονται καὶ κλοπαὶ καὶ ὀργαὶ καὶ φόνοι φύσει, κακὸν ἄρα ἐστὶν ὁ ἀκόλαστος βίος· τὸ δὲ θεῖον παθῶν ἀσύμπλοκον· οὐκ ἄρα γένεσις.

Εἰ οἱ σώφρονες βελτίους εἰσὶ τῶν ἀκρατόρων καὶ ἔστιν αὐτοῖς ἡ ἀκρασία βδελυκτή, χαίρει δὲ ὁ θεὸς τῇ σωφροσύνῃ, παθῶν ἀνεννόητος ὤν, στυγητὴ ἄρα καὶ τῷ θεῷ ἡ ἀκρασία. Ὅτι δὲ ἡ κατὰ σωφροσύνην πρᾶξις, ἀρετὴ οὖσα, κρείττων ἐστὶ τῆς κατ᾽ ἀκρασίαν, κακίας οὔσης, μαθεῖν ἐστιν ἀπὸ βασιλέων, ἀπὸ ἀρχόντων, ἀπὸ στρατηγῶν, ἀπὸ γυναικῶν, ἀπὸ τέκνων, ἀπὸ πολιτῶν, ἀπὸ δεσποτῶν, ἀπὸ οἰκετῶν, ἀπὸ παιδαγωγῶν, ἀπὸ διδασκάλων· ἕκαστος γὰρ τούτων καὶ ἑαυτῷ καὶ τῷ κοινῷ ὠφέλιμος γίνεται σωφρονῶν, ἀκολασταίνων δὲ καὶ ἑαυτῷ καὶ τῷ κοινῷ βλαβερός.

---

1 αὐτὸν] *correxi (ed.)*, αὐτῶν K **2** αὐτὸς] *correxi (ed.)*, αὐτοῖς K **6** τὸν θεὸν] *supplevi (ed.)*, *om.* K καὶ] *supplevi (ed.)*, *om.* K **9** συνετός] *correxi (ed.)*, συνεστῶς K ὁμολογήσει] *correxi (ed.)*, ὁμολογῆ K[e corr.] **12** εἰ] *an delendum (cf. ed.)?* **16 – 17** *post* σωφροσύνη *quaedam excidisse videntur (*καὶ εἰ ἡ σωφροσύνη φύσει ἀγαθόν, ἀκολασία δὲ ἐναντίον σωφροσύνῃ *ed.)* **17** *post* ἐναντίον *hab.* τῷ ἀγαθῷ *ed.* ἡ[1] – εἰ] *supplevi (ed.)*, *om.* K **18** κακόν] *supplevi (ed.)*, *om.* K κακῶν] *deest in ed.* **19** ἄρα] *s. l.* K **22** σώφρονες] *correxi (ed.)*, σωφροσύνης K **30** ἀκολασταίνων] *correxi (ed.)*, ἀκολαστιῶν K

Εἰ ἔστι διαφορά τις κιναίδων καὶ ἀνδρῶν ἀκολάστων καὶ σωφρόνων, καὶ ἔστι κρείσσων ἡ τῶν σωφρόνων ἀνδρῶν, χείρων δὲ ἡ τῶν ἐναντίων, οἱ δὲ τῆς κρείττονος ἐγγύς εἰσι καὶ φίλοι θεοῦ, οἱ δὲ τῆς χείρονος μακρὰν καὶ ἐχθροί, <οἱ> λέγοντες γένεσιν τὸ αὐτὸ τὴν ἀδικίαν εἶναι καὶ τὴν δικαιοσύνην διορίζονται, κιναιδείαν καὶ ἀνδρείαν καὶ ἀκρασίαν καὶ σωφροσύνην, ὅπερ ἀδύνατον. Εἰ γὰρ τῷ κακῷ τὸ ἀγαθὸν ἐναντίον, τὸ δὲ ἄδικον κακόν, τούτου δὲ ἐναντίον τὸ δίκαιον, τὸ δὲ δίκαιον ἀγαθόν, τὸ δὲ ἀγαθὸν ἐχθρὸν τοῦ κακοῦ, ἀνόμοιον δὲ τὸ κακὸν τῷ ἀγαθῷ, ἕτερον ἄρα τὸ δίκαιον τοῦ ἀδίκου· οὐκ ἄρα αἴτιος τῶν κακῶν ὁ θεός. Εἰ ὁ θεὸς οὐ χαίρει τοῖς κακοῖς, ὡς συνέστησεν ὁ λόγος, ἀγαθὸς ὤν, εἰσὶ δὲ πονηροί τινες, κατὰ ἔνδειαν φρενῶν εἰσὶ οὗτοι πονηροί, καὶ οὐ κατὰ γένεσιν σφῇσιν ἀτασθαλίῃσιν ὑπέρμορον ἄλγε᾽ ἔχοντες.

II[1]406 / K cap. A 23, 4

Ἐκ τοῦ αὐτοῦ·

Εἰ τὸ ἀνελεῖν τινα καὶ φόνῳ τὰς χεῖρας αἱμάξαι γένεσις ἐργάζεται, τοῦτο δὲ νόμος κωλύει, κολάζων τοὺς ἀλάστορας καὶ δι᾽ ἀπειλῆς ἀπείργων τὰ τῆς γενέσεως δόγματα, οἷον τὸ ἀδικῆσαι, μοιχεῦσαι, κλέψαι, φαρμακεῦσαι, ἐναντίον ἄρα νόμος γενέσεως. Ἃ μὲν γὰρ γένεσις ὥρισεν, ταῦτα νόμος κωλύει, ὅσα δὲ νόμος κωλύει, ταῦτα γένεσις ποιεῖν βιάζεται· πολέμιον ἄρα τῇ γενέσει νόμος· εἰ δὲ πολέμιον, οὐ κατὰ γένεσιν οἱ νομοθέται· τὰ γὰρ ἐναντία δογματίζοντες γενέσει, γένεσιν λύουσιν. Ἤτοι οὖν γένεσις ἐστίν, ἢ οὐκ ἐχρῆν εἶναι νόμους, ἢ εἰσὶ νόμοι καὶ οὐκ εἰσὶ κατὰ γένεσιν. Ἀλλ᾽ ἀμήχανον χωρὶς γενέσεως φῦναί τινα καὶ διαπράξασθαι τί· οὐδὲ

13 – 14 Hom., *Od.*, I, 34

17 – 284, 26 II[1]406 Methodius Olympius, *Symposia de castimonia (Convivium decem virginum)*, Λόγος η′, XVI, 64–101 (ed. Musurillo, p. 252–254)

16 – 284, 26 II[1]406 K cap. A 23, 4 (98r[4]5–99r8)

1 κιναίδων] *correxi*, κιναιδῶν K **3** *post* ἐγγύς εἰσι *aliquid inserendum esse indicat* K **4** οἱ] *supplevi (ed.)*, *om.* K **5** κιναιδείαν] *scripsi*, κιναίδειαν K **13** σφῇσιν] *correxi*, σφῖσιν K **24** Ἤτοι] *correxi (ed.)*, ἤτι K **25** νόμους] *correxi (ed.)*, μόνους K εἰσὶ[2]] *correxi (ed.)*, ἔστι K

γὰρ τὸν δάκτυλον ἐξεῖναι φασὶ χωρὶς εἱμαρμένης κινῆσαί τινι· κατὰ γένεσιν ἄρα καὶ Μίνως καὶ Δράκων καὶ Λυκοῦργος καὶ Σόλων καὶ Ζάλευκος, νομοθέται φύντες, διετάξαντο τοὺς νόμους, ἀπαγορεύοντες μοιχείας, φόνους, βίας, ἁρπαγάς, κλοπάς, ὡς οὐκ ὄντων τούτων καὶ γινομένων κατὰ γένεσιν. Εἰ δὲ κατὰ γένεσιν ταῦτα, οὐ κατὰ γένεσιν οἱ νόμοι· οὐ γὰρ ἂν αὐτὴ ὑφ᾽ ἑαυτῆς ἀναιροῖτο γένεσις, αὐτὴ ἑαυτὴν ἀκυροῦσα καὶ ἑαυτῇ μαχομένη, καὶ ἐνταῦθα μὲν ἀπαγορευτικοὺς μοιχείας καὶ φόνων νόμους τιθεμένη, καὶ ἐπιτιμωμένη καὶ ἐπεξερχομένη τοὺς κακούς, ἐνταῦθα δὲ φόνους καὶ τὰς μοιχείας ἐργαζομένη. Ἀλλὰ τοῦτο ἀδύνατον· οὐδὲν γὰρ ἀλλόκοτον αὐτὸ ἑαυτοῦ †κατὰ τὸ αὐτὸ† ἀπεχθανόμενον, καὶ αὐτὸ ἑαυτὸ καταλῦον καὶ <ἀ>σύμφωνον αὐτὸ ἑαυτῷ. Οὐκ ἄρα γένεσις. Εἰ κατὰ γένεσιν πᾶν ὅτι ποτ᾽ οὖν γίνεται, γίγνεται καὶ ἔστιν δίχα γενέσεως οὐδέν, ἀνάγκη καὶ τὸν νόμον γενέσει γεγονέναι· ἀλλὰ νόμος γένεσιν ἀναιρεῖ, διδακτὴν διδάσκων τὴν ἀρετὴν <καὶ> ἐξ ἐπιμελείας γινομένην, φευκτὴν δὲ τὴν κακίαν καὶ ἐξ ἀπαιδευσίας φυομένην. Οὐκ ἄρα γένεσις.

Εἰ τὸ ἀλλήλους ἀδικεῖν καὶ τὸ ὑπ᾽ ἀλλήλων ἀδικεῖσθαι γένεσις ποιεῖ, τίς χρεία νόμων; Εἰ δὲ ἵνα τοὺς ἁμαρτάνοντας ἀμύνωνται, φροντίζοντος τοῦ θεοῦ τῶν ἀδικουμένων, ἄμεινον ἦν κακοὺς μὴ <ποιῆσαι καθ᾽ εἱμαρμένην ἢ μετὰ τὸ> ποιῆσαι νόμοις ἐπανορθοῦσθαι· ἀλλ᾽ ἀγαθὸς ὁ θεὸς καὶ σοφὸς καὶ τὰ κρείσσω ποιῶν. Οὐκ ἄρα γένεσις.

Ἤτοι ἀνατροφὴ καὶ τὰ ἤθη τῶν ἁμαρτημάτων εἰσὶν αἴτια, ἢ τὰ πάθη τῆς ψυχῆς καὶ αἱ διὰ σώματος ἐπιθυμίαι· ὁπότερον δ᾽ ἂν τούτων ᾖ τὸ αἴτιον, ὁ θεὸς ἀναίτιος.

---

2 Μίνως] *correxi*, μήνως K **3** φύντες] *scripsi*, φῦντες K **5** γινομένων] *correxi (ed.)*, γενομένων K **6 – 7** ἀναιροῖτο] *scripsi*, ἀναιρεῖτο K, ἀνῃρεῖτο *ed.* **9** ἐπιτιμωμένη] *scripsi*, ἐπὶ τιμουμένη K, τιμωρουμένη *ed.* **11** †κατὰ – αὐτὸ†] *cruces apposui*, *sic* K, καὶ αὐτὸ ἑαυτῷ *ed.* **12** ἀσύμφωνον] *correxi (ed.)*, σύμφωνον K ἑαυτῷ] *correxi (ed.)*, ἑαυτὸ K **13** ὅτι ποτ᾽ οὖν] *correxi (ed.)*, ὅ τι ποτοῦν K γίγνεται] *sic* K, *deest in ed.* **14** γενέσεως – ἀνάγκη] *scripsi (ed.)*, γενέσεως, οὐδὲν ἀνάγκη K **16** καὶ[1]] *supplevi (ed.)*, *om.* K **18** τὸ[2]] *s. l.* K **21** ποιῆσαι[1] – τὸ] *supplevi (ed.)*, *om.* K **24** ἀνατροφὴ] *correxi*, ἀναστροφὴ K, ἀνατροφαὶ *ed.* ἤθη] ἔθη *ed.* **25** πάθη] *correxi (ed.)*, ἤθη *e corr.* K

II[1]407 / K cap. A 23, 5

<***>

Εἰ κρεῖσσον ἐστὶ τὸ δίκαιον εἶναι τοῦ ἄδικον, διατί τοιοῦτος αὐτόθεν ὁ ἄνθρωπος ἀπὸ τῆς γενέσεως οὐ γίνεται; Εἰ δὲ ὕστερον, ὅπως ἀμείνω<ν> γενηθῇ, σωφρονίζεται μαθήμασι καὶ νόμοις, ὡς αὐτεξούσιος ἄρα σωφρονίζεται καὶ [ὡς] οὐχ᾽ ὡς ἐκ φύσεως ὢν κακός. Εἴπερ οἱ <πονηροὶ> πονηροὶ κατὰ γένεσιν †οὐ φύσιν† προνοίας ταγαῖς, οὐκ εἰσὶ μεμπτοὶ καὶ ἄξιοι τιμωρίας τῆς ἐκ τῶν νόμων, ζῶντες κατὰ τὴν οἰκείαν φύσιν, ἐπεὶ μὴ δὲ δύνανται μεταβληθῆναι. Καὶ ἄλλως· εἰ οἱ ἀγαθοὶ κατὰ τὴν οἰκείαν φύσιν ζῶντες εἰσὶν ἐπαινετοί, γενέσεως οὔσης αἰτίας τοῦ εἶναι τοὺς <ἀγαθοὺς> ἀγαθούς, οἱ πονηροὶ ἄρα κατὰ τὴν οἰκείαν φύσιν ζῶντες οὐκ αἰτιατέοι παρὰ δικαίῳ κριτῇ. Καὶ εἰ χρὴ διαρρήδην εἰπεῖν, ὁ κατὰ τὴν προσοῦσαν αὐτῷ φύσιν ζῶν οὐδὲν ἁμαρτάνει· οὐδὲ γὰρ ἑαυτὸν ἐποίησε τοιοῦτον, ἀλλ᾽ ἡ εἱμαρμένη, καὶ ζῇ κατὰ τὴν αὐτῆς κίνησιν ἀγόμενος ἀφύκτοις ἀνάγκαις· οὐδεὶς οὖν κακός. Ἀλλ᾽ εἰσὶ κακοί, καὶ ἡ μὲν κακία ψεκτὴ καὶ ἐχθρὰ θεῷ, ὡς συνέστησεν ὁ λόγος, ἡ δὲ ἀρετὴ προσφιλὴς καὶ ἐπαινετή, θεοῦ διατάξαντος νόμον τιμωρὸν τῶν κακῶν. Οὐκ ἄρα εἱμαρμένη.

Καὶ τί τοσοῦτον ἐπιδιατρίβων τοῖς ἐλέγχοις, εἰς μῆκος ἐξάγω τὸν λόγον, τὰ ἀναγκαιότερα καὶ χρήσιμα πρὸς πειθὼ καὶ συγκατάθεσιν τοῦ συμφέροντος ἐκθέμενον, καὶ πρόδηλον πᾶσι καὶ ἐξ ὀλίγων τὴν διαφωνίαν τοῦ τεχνάσματος αὐτῶν ἐξεργασάμενον;

---

3 – 286, 10 II[1]407 METHODIUS OLYMPIUS, *Symposia de castimonia (Convivium decem virginum)*, Λογος η′, XVI, 101 – XVII, 16 (ed. Musurillo, p. 254–258)

---

2 – 286, 10 II[1]407 K cap. A 23, 5 (99r9–100r5)

II[1]407 *s. a.* K

---

3 ἄδικον] *correxi (ed.)*, ἀδίκου K **5** ἀμείνων] *correxi (ed.)*, ἀμείνω K **6** ὡς[1]] *seclusi (ed.)* **7** πονηροὶ[1]] *supplevi (ed.)*, *om.* K †οὐ φύσιν†] *cruces apposui*, *sic* K *(*ζ<ή>τ<ει> *in mg.)*, φύουσιν *ed. in app. crit.*, πεφύκασιν *coniec. Bonwetsch* **11** ἀγαθοὺς] *supplevi (ed.)*, *om.* K **12 – 13** αἰτιατέοι] *correxi (ed.)*, αἰτιαταῖοι K **17** ἡ] *correxi (ed.)*, εἰ K **18** διατάξαντος] *correxi (ed.)*, διδάξαντος K **19** τιμωρὸν – κακῶν] *correxi (ed.)*, τιμωρῶν τὸν κακόν K **21** *post* πρὸς *aliquid inserendum indicat* K[s. l.] πειθὼ] *correxi (ed.)*, πειθῶ K **22** ἐκθέμενον] *sic* K, *exspectaveris* ἐκθέμενος **23** ἐξεργασάμενον] *sic* K, *exspectaveris* ἐξεργασάμενος

Ὥστε †καὶ εἰσόρᾶν καὶ εἰσαἰσθάνεσθαι† ἐφ᾽ ἡμῖν ἐστὶν καὶ τὸ διαπράξασθαι ἢ καλὸν ἢ κακόν, καὶ οὐκ ἐν τοῖς ἀστράσιν. Δυοῖν γὰρ κινήσεων ἐν ἡμῖν εἰσὶ ἐπιθυμίαι, σαρκὸς καὶ ψυχῆς, πεφυκότε, διαφέρετον ἀλλήλων· ὅθεν καὶ δύο ἐλαβέτην ὀνόματε, τῆς μὲν ἀρετῆς, τῆς δὲ κακίας· δεῖν δὲ τῇ καλλίστῃ καὶ χρυσῇ πείθεσθαι τῆς ἀρετῆς ἀγωγῇ, τὰ βέλτιστα πρὸ τῶν φαύλων αἱρουμένους. Ἀλλὰ περὶ τούτων ἅλις· ἤδη καὶ ἐφέξω τὸν λόγον. Αἰδοῦμαι γὰρ μετὰ τοὺς τῆς ἁγνείας λόγους καὶ ἐγκαλύπτομαι, τὰς τῶν μετεωρολόγων ἢ ματαιοσκόπων ἀνθρώπων ἀναγκαζόμενος δόξας ἐξηγεῖσθαι, οἳ τοὺς τῆς ζωῆς μετ᾽ οἰήσεως καταναλίσκουσι χρόνους.

II[1]408 / K cap. A 23, 6

Τοῦ ἁγίου Γρηγορίου Νύσης, ἐκ τοῦ περὶ εἱμαρμένης·

Παρ᾽ ὧν ἡ αἰτία τοῦ εὖ ἢ κακῶς εἶναι τὸν ἄνθρωπον, παρὰ τῶν αὐτῶν <καὶ ἡ> τοῦ εἶναι πάντως αἰτία ἐστίν. Εἰ οὖν τὸ μετὰ τὴν γένεσιν παρ᾽ ἐκείνων, πάντως παρὰ τῶν αὐτῶν καὶ ἡ γένεσις· εἰ δὲ τοῦτο οὐκ ἐπ᾽ ἐκείνοις, οὐδὲ τὸ μετὰ τοῦτο πάντως. Ἀλλὰ μὴν τὸ μὴ ἐπ᾽ ἐκείνοις εἶναι τὴν γένεσιν, ἐκ τούτου δῆλόν ἐστιν, ἐκ τοῦ μὴ ἀδιαλείπτως ποταμοῦ δίκην τῷ συνεχεῖ τῆς παροδικῆς τοῦ χρόνου ῥοῆς καὶ τὰς ἀνθρωπίνας συρρεῖν τῶν τικτομένων γενέσεις, ἀλλ᾽ ἐν διαλείμμασι μὲν εἶναι τοὺς τόκους· τῆς δὲ τῶν μοιρῶν ἐκείνων γενέσεως, ὅσα<ς> ὁ χρόνος ῥέων τῷ ἀεικινήτῳ τῆς τῶν ἄστρων φορᾶς ἐξεργάζεται, οὔθ᾽ ὁτιοῦν ἐστι διάλειμμα οὔτε κατ᾽ αἴσθησιν οὔτε τῇ διανοίᾳ λαβεῖν. Τί<ς> οὖν ἐκείνη ἡ εἱμαρ-

13 – 288, 24 II[1]408 Παρ᾽ – ἄλλα] GREGORIUS NYSSENUS, *Contra fatum* (ed. McDonough, p. 46, 4 – 49, 1)

12 – 292, 31 II[1]408 K cap. A 23, 6 (100r[6]7–105v22)

1 †καὶ – εἰσαἰσθάνεσθαι†] *cruces apposui*, *sic* K, διορᾶν καὶ ἐπαισθάνεσθαι τὴν πλάνην ἤδη καὶ παιδίον, ὡς *ed.* **3** πεφυκότε] *correxi (ed.)*, πεφυκότες K **3 – 4** διαφέρετον] *correxi (ed.)*, διαφερετῶν K *(*ζ<ή>τ<ει> διάφοροι *in mg.)* **4** ἐλαβέτην] *scrips. Bonwetsch*, λαβέτην *ed. in app. crit.*, βλάβαι K ὀνόματε] *correxi (ed.)*, ὀνομασταὶ K **6** αἱρουμένους] *correxi (ed.)*, αἱρούμενος K **8** ἐγκαλύπτομαι] *correxi (ed.)*, ἐκκαλυπτόμενος K **9** ἀναγκαζόμενος] ἀναγκαζομένη *ed.* **14** καὶ ἡ] *supplevi (ed.)*, *om.* K **15** παρὰ] *correxi (ed.)*, περὶ K **21** ὅσας] *correxi*, ὅσα K, ἃς *ed.* **23** Τίς] *correxi (ed.)*, τί K

μένη, εἴτ᾽ οὖν μία γενικωτέρῳ τινὶ λόγῳ, εἴτ᾽ οὖν πολλαὶ αἱ τοῖς λεπτοῖς τοῦ χρόνου τμήμασι συλλεπτυνόμεναι, οὔπω καταλαβεῖν δι᾽ ἀκολούθου τινὸς ὁ λόγος δεδύνηται. Κινεῖσθαι τὰ ἄστρα φατέ; Καὶ γὰρ καὶ ἡμεῖς τὴν τῶν ποταμῶν ἀντιπροφέρομεν κίνησιν. Ἀλλὰ διαπαντὸς ἐκεῖνα. Καὶ ταῦτα διόλου ὡσαύτως. Ἀλλ᾽ ἐκεῖνα ἐν χρόνῳ. Οὐδὲ ταῦτα ἔξω τοῦ χρόνου. Ἀλλὰ χρονικὴν οὐκ ἔστιν ἐπ᾽ ἐκείνων ἀρχὴν ἐξευρεῖν τῆς κινήσεως. Ποίαν δὲ τούτοις ἐπινοήσεις τὴν ἄνευ χρόνων ἀρχήν; Ἀλλ᾽ ἐκεῖνα κατὰ <τὰ> αὐτὰ καὶ ὡσαύτως ἀεικίνητα. Οὐδὲ τούτοις ἄν τις τὴν ἐναντίαν προσμαρτυρήσειεν κίνησιν, φυσικῶς ἀεὶ τοῦ ὕδατος ἀπὸ τοῦ ὑπερκειμένου πρὸς τὸ πρανὲς καταρρέοντος· ὥστε ἢ καὶ τὴν κίνησιν τῶν ποταμῶν εἱμαρμένας τινὰς ἀπογεννᾶν συγχωρήσατε, ἢ οὐδὲ ἡμεῖς τῇ τῶν ἀστέρων κινήσει τὰς δυνάμεις ταύτας παραχωρήσομεν.

Ἀλλὰ τῆσδε, φησί, τῆς δυνάμεως ὁ Κριὸς ἢ <ὁ> Ταῦρος, καὶ τῆσδε τῶν πλανητῶν ἕκαστος. Ὅταν οὖν ἐν ἑνὶ τούτων γένηται ἢ κατὰ μόνας ἢ μεθ᾽ ἑτέρων περιοδικῶς τις τῶν πλανητῶν, ὑπὸ τοῦ κύκλου περιαγόμενος, ἡ τῶν δυνάμεων σύνοδος τόνδε τὸν βίον τῷ συνενεχθέντι τῇ ὥρᾳ ταύτῃ κατὰ τὴν γένεσιν ἀπειργάσατο. Ὦ τῆς ματαιολογίας. Δούλιον, ἂν οὕτω τύχῃ, τὸν Ταῦρον λέγετε διὰ τὸ ὑπὸ ζυγῷ τὸ ζῶον τοῦτο δαμάζεσθαι, εὐεργετικὸν τὸν Κριὸν διὰ τὴν τῶν ἐρίων φοράν· ἐν ἑνὶ δὲ τούτων γενόμενον ἢ τόνδε ἢ τόνδε τῶν κατὰ τὸ ἐναντίον ἀνειλουμένων κατὰ τὴν φυσικῶς αὐτοῖς ἐνυπάρχουσαν δύναμιν διὰ τῆς τῶν ἰδιωμάτων ἐπιμιξίας, τοιάνδε τῶν τικτομένων μοῖραν κατασκευάζει<ν>. Τί οὖν; Εἰπέ μοι, ἑκὼν ὁ ταῦρος ἐστὶν ὑποζύγιος; Καὶ καταθύμιον τῷ κριῷ τὸ κείρεσθαι λέγεις; Τό τε βλαπτικὸν καὶ ναρκῶδες τῷ τὸν ἀνωτάτω περιοδεύοντι πόλον ἢ τὸ θερμὸν τῷ πυρόεντι ἢ ἄλλῳ τινὶ τῶν θεωρουμένων ἡ ἐνυπάρχουσα δύναμις ἑκουσίως ἢ <κατὰ τὸ> ἀκούσιον πρόσεστιν; Εἰ μὲν ἑκόντες ἐν κακοῖς εἰσὶ καὶ βλαπτικοὶ ἐκ προαιρέσεως γίνονται, δυστυχίαν ἄντικρυς αὐτῶν ὁ ταῦτα λέγων

---

1 μία – λόγῳ] *correxi*, μὴ ἀγενικωτέρωι τινὶ λόγωι K, μία γενικωτέρα *ed.* **4** ἀντιπροφέρομεν] *correxi (ed.)*, ἀντιπροσφέρομεν K **7** κινήσεως] *correxi (ed.)*, κτίσεως K **7 – 8** ἐπινοήσεις] *correxi (ed.)*, ἐπινοήσειν K **8** ἄνευ] ἀπὸ *ed.* τὰ] *supplevi (ed.)*, *om.* K **11** ἢ] *correxi (ed.)*, εἰ K **14** ὁ[2]] *supplevi (ed.)*, *om.* K **18** Ὦ] *correxi (ed.)*, ὦ K **21** τούτων] *correxi (ed.)*, τοῦτον K **21 – 22** ἢ[1] – ἀνειλουμένων] *sic* K, [ἢ] τόνδε τὸν κατὰ τὸ ἐναντίον ἀνειλούμενον *ed. (sed cf. app. crit.)* **24** κατασκευάζειν] *correxi (ed.)*, κατασκευάζει K **25** ὁ] *correxi (ed.)*, ὡς K ὑποζύγιος] *correxi (ed.)*, ὑποζύγιον K **27** πόλον] *correxi (ed.)*, πῶλον K **28** κατὰ τὸ] *supplevi (ed.)*, *om.* K

καταψηφίζεται, τὸ κατ᾽ ἐξουσίαν αὐτοῖς προκειμένης τῆς κρείττονος λήξεως ἐν ἡδονῇ τὸ ἀτιμότερον τίθεσθαι. Εἰ δὲ οὐκ ἐκ προαιρέσεως τούτων ἕκαστόν ἐστιν ὅπερ νομίζεται, ἀλλ᾽ ἔκ τινος ἀνάγκης ἐγένετο, ἆρά τις καὶ τούτοις ὑπερκειμένη πάλιν εἱμαρμένη ἑτέρα τὰς τῶν φύσεών τε καὶ δυνάμεων ἐπέκλωσεν ἰδιότητας· ὥστε ζητεῖν ἐπάναγκες ἄλλα ἄστρα τούτων ὑπέρτερα καὶ κίνησιν ἐφ᾽ ἑαυτῶν ἰδιάζουσαν, ὧν ἡ ποιὰ συμπλοκὴ κατά τινα εἱμαρμένης ἀνάγκην ἢ δούλιον εἶναι τὸν Ταῦρον ἢ ἐπιζήμιον τὸν Κριὸν ἀπε<ι>ργάσατο, ἢ τὸν Καρκῖνον ἀκέφαλον, ἢ εἴ τι ἄλλο περὶ ἑκάστου <τού>των οἱ λῆροι τῶν σοφῶν διεξέρχονται. Καὶ εἰ ταῦτα τὰ φαινόμενα ἡμῖν κατὰ ἀνάγκην εἱμαρμένης τινός ἐστι τοιαῦτα, πάντως καὶ τῆς ὑπερκειμένης ἀνάγκης ἑτέραν αἰτίαν ἀναγκαστικὴν τῆς τοιαύτης καταστάσεως ἄρα ἐπινοήσει ὁ λόγος, κἀκείνης ἄλλην, καὶ πάλιν ἄλλην τῆς ἄλλης, καὶ οὕτως εἰς ἄπειρον προϊὼν ὁ λόγος οὐδαμοῦ στήσεται εἱμαρμένην εἱμαρμένης καὶ μοῖραν μοίρας καὶ ἀνάγκης ἀνάγκην προαναπλάσσων.

Ταῦτα δέ μου διεξιόντος καὶ διὰ τῶν τοιούτων νοημάτων πρὸς τὸ ἄτοπον τὸν λόγον ἐκβάλλοντος, ἐπικόψας μεταξὺ διὰ καταφορᾶς προϊόντα τὸν λόγον ὁ προσδιαλεγόμενός μοι φιλόσοφος, Τί μάχῃ, φησίν, τῇ ἐναργείᾳ; Τί δὲ οὐχ᾽ ἕπῃ τοῖς διὰ τῶν ἀριθμῶν παρατετηρηκόσιν τὴν τῶν ὄντων ἀλήθειαν, οἷς εἰ πρὸς ἀκρίβειαν ἡ ὥρα ληφθείη τῆς τοῦ ἀποκυηθέντος γεννήσεως, πᾶσαν δι᾽ ἀκολούθου τὴν ζωὴν προαγορεύουσι, τὸν χρόνον, τὸν τρόπον καὶ τὰ ἄλλα; Τούτων οὖν δι᾽ ἀκριβείας προσημαν<θέν>των, καὶ τῇ ἐκβάσει τῆς ἀληθείας μαρτυρηθείσης, τίς ἔτι σοι λόγος ἐστὶν ἀπιστοῦντι τῇ τῆς εἱμαρμένης ἀνάγκῃ; Ἐγὼ δὲ τῶν τοιούτων προρρήσεων τὰς αἰτίας μικρὸν ὕστερον ζητήσειν εἰπών, ἠρόμην πότερον ἄλογός ἐστιν καὶ συντυχικὴ τῶν τοιούτων ἐκβάσεων ἡ αἰτία,

24 – 290, 24 Τούτων – πάθη] GREGORIUS NYSSENUS, *Contra fatum* (ed. McDonough, p. 49, 5 – 51, 11)

1 τὸ] τῷ *ed.*, *sed cf. app. crit.* προκειμένης] *correxi (ed.)*, προσκειμένης K **6** ἐπάναγκες] *correxi (ed.)*, ἐπανάγκαις K ἄλλα] *praem.* τὰ K[a. ras. ut videtur] **9** ἀπειργάσατο] *correxi (ed.)*, ἀπεργάσατο K Καρκῖνον] *sic acc.* K **10** τούτων] *correxi (ed.)*, τῶν K **16** ἀνάγκης] ἀνάγκη K[a. c.] προαναπλάσσων] προσαναπλάσσων *ed. (sed cf. app. crit.)* **17** δέ μου] *correxi (ed.)*, δέ μοι K **18** τὸν λόγον] *correxi (ed.)*, τῶν λόγων K **20** ἐναργείᾳ] *correxi (ed.)*, ἐνεργείαι K οὐχ᾽ ἕπῃ] *correxi (ed.)*, οὔ ἐπὶ K *(in mg.* ζ<ή>τ<ει>*)* **24** προσημανθέντων] *correxi (ed.)*, προσημανθὼν K **25** ἔτι σοι] ἔτι K[a. c.] **26 – 27** προρρήσεων] *correxi (ed.)*, προσρήσεων K **28** ἡ] *om.* K[a. c.]

ἢ ὄντινα καὶ λόγον τῇ παρατηρήσει ταύτῃ συνεφευρίσκουσιν, ὡς μὴ ἔξω τοῦ εἰκότος γενέσθαι τὸ γινόμενον. Καὶ μάλα μέντοι, φησίν, καὶ λόγος ἔπεστι τοῖς γινομένοις. Ὅταν γὰρ ἐκ τῆς ποιᾶς τῶν κατὰ <τὰ> ἄστρα ποιοτήτων συμπτώσεως τοιάδε σώματος [τοιάδε] κρᾶσις τῷ τικτομένῳ συστῇ, ὁ κατειληφὼς δι' ἀκριβείας τῶν οὐρανίων τὴν θεωρίαν καὶ τὸ συστήσεσθαι τήνδε τὴν κρᾶσιν περὶ τὸν τεχθέντα προκατενόησεν, καὶ τὸ δύνασθαι μέχρι τοῦδε τοῦ μέτρου τὴν ζωὴν ἐξαρκῆσαι, πλείονος μὲν ἐπὶ τῆς ἐρρωμενεστέρας, ἐλάττονος δὲ ἐπὶ τῆς νοσωδεστέρας τοῦ σώματος κράσεως. Ἐγὼ δὲ τοῖς ῥηθεῖσιν ἐπιγελάσας, Ἐλελήθεις ἡμᾶς, πρὸς αὐτὸν ἐπεῖπον, Γαληνοῦ καὶ Ἱπποκράτους καὶ τῶν τοιούτων ἐγγόνους εἶναι τὰς εἱμαρμένας δοξάζων, οἵτινες χαίρειν τὴν τῶν ἀστέρων ἀφέντες κίνησιν, ἐκ τοῦ ὑποκειμένου στοχαστικῶς τὸ μέλλον προαγορεύουσιν· ὅταν ὀφθαλμοὶ κοῖλοι καὶ κρόταφοι συμπεπτωκότες καὶ τὰ μέτωπα περι<ε>σκληρωκότα τῷ δέρματι, τὸν θάνατον προμηνύουσι. Πολλοῖς δέ, εἶπον, νοσωδέστερον διακειμένοις τὸ σῶμα καὶ ὅσον οὐδέπω προσδοκωμένοις τεθνήξεσθαι, πρὸς τὸ ἔμπαλιν ἐξ ἰατρικῆς ἀνεκλώ<σ>θη τῆς τοιαύτης εἱμαρμένης τὰ νήματα· οἷον δὴ καὶ τὸν παιδοτρίβη<ν> Ἡρόδικον ὁ Πλάτωνος ἱστόρησε λόγος, ὅτι διὰ γυμναστικῆς ἐμπειρίας εἰς παντελῆ μὲν ὑγείαν, ἐπιθανατίου τοῦ νοσήματος ὄντος, ἐπανάγειν τὸ σῶμα οὐχ' οἷός τε ἦν, ἀεὶ δὲ παρόντα τὸν θάνατον δι' ἐπινοίας ὑπερθέμενος, οὐχὶ ζωῆς μετουσίαν, ἀλλὰ θανάτου παράτασιν ἑαυτῷ κατεσκεύαζεν. Ὅθεν καὶ εἰς γῆρας διήρκησεν, μακρῷ θανάτῳ τὸ μὴ ἀποθανεῖν σοφισάμενος. Οὐκοῦν οὐδὲ κατὰ τοῦτον τὸν λόγον ἀρραγὴς ὑμῖν ἡ εἱμαρμένη καταλαμβάνεται, εἴπερ εὑρίσκεταί τις τέχνη τὴν ἀνάγκην ἐκλύουσα.

Ἀλλ' οὐδέν, φησίν, ὁ τοιοῦτος λόγος τὴν ἐκ τῶν προρρήσεων περὶ τῆς εἱμαρμένης ἀπόδειξιν ἀναλύει. Δυνατὸν γὰρ ἂν γένοιτο

19 – 20 cf. Plat., *Resp.* III, 406a7–b8

1 ταύτῃ] *correxi (ed.)*, ταύτης K **3** ἔπεστι] *correxi (ed.)*, ἐπέστη K **4** τὰ] *supplevi (ed.)*, *om.* K τοιάδε[1]] *correxi (ed.)*, τοιᾶσδε K **4 – 5** τοιάδε[2]] *seclusi (ed.)* **5** δι' ἀκριβείας] *correxi (ed.)*, δὲ ἀκριβῶς K **8** τὴν ζωὴν] *correxi (ed.)*, τῆς ζωῆς K ἐξαρκῆσαι] *sic* K, ἐξαρκέσαι *ed.* **10** ἡμᾶς] *correxi (ed.)*, ὑμᾶς K **15** περιεσκληρωκότα] *scripsi*, περισκληρωκότα K, περιεσκληκότα *ed.* **18** ἀνεκλώσθη] *correxi (ed.)*, ἀνεκλώθη K **19** δὴ] *correxi (ed.)*, δὲ K παιδοτρίβην] *correxi (ed.)*, παιδοτρίβη K Ἡρόδικον] *correxi (ed.)*, ἡρωδικὸν K **23** μετουσίαν] ἀσφάλειαν *ed.* παράτασιν] *correxi (ed.)*, παράστασιν K **24** διήρκησεν] *sic* K, διήρκεσε *ed.* **26** ὑμῖν] *correxi (ed.)*, ἡμῖν K **27** τέχνη] *correxi (ed.)*, τέχνης K

καὶ τοῦτο προμηνυθῆναι παρὰ τοῦ δι᾽ ἀκριβείας ἐπεσκεμμένου τῶν οὐρανίων τὴν κίνησιν, ὥστε τῷ μὲν ἀραρότα, τῷ δὲ ἀμφίβολον προμηνυθῆναι τὸν θάνατον. Ἐγὼ δὲ Οὐχ οὕτως, εἶπον, ὁ τῆς ἀνάγκης διϊσχυρίζεται λόγος· ἄλλος γὰρ τοῦ ἐνδεχομένου, ὁπότερον ἂν τύχῃ γενέσθαι, καὶ ἄλλος ὁ τοῦ <ἀ>μεταθέτου λόγος, ὃν οὐκ ἔστιν ἐπὶ τῶν ἐνδεχομένων λαβεῖν· ἀλλ᾽ ἢ τοῦτο πάντως ἢ τὸ ἕτερον· τὸ δὲ πρὸς τὰς ἀμφοτέρας ἐκβάσεις ταῖς ἐλπίσιν ἐπικραδαίνεσθαι πόρρω τοῦ τῆς ἀνάγκης ἐστὶν λόγου.

Πλὴν τοῦτο, φημὶ πρὸς αὐτόν, πόθεν οἴεται τὸ πιστὸν ἔχειν τῶν ἀποβησομένων τὴν πρόρρησιν; Ὁ δὲ φησίν· Πολλάκις διεξιόντος ἀκούσας, ἔτι καὶ νῦν περὶ τῶν αὐτῶν ἐρωτᾷς; Ὅτι τινὲς μέν εἰσιν ἰδιάζουσαι δυνάμεις τῶν ἄστρων· τὸ δὲ ἀ<ει>κίνητον τῆς φορᾶς μυρίας ἐκ τῆς ποιᾶς αὐτῶν συμπλοκῆς τὰς τῶν δυνάμεων διαφορὰς ἐξεργάζεται. Ὁ τοίνυν παραχθεὶς ἐπὶ τὸν βίον διὰ γεννήσεως, κατὰ τὴν συμπεσοῦσαν αὐτῷ τοῦ χρόνου μοῖραν τὴν ὑπὸ τῶν ἄστρων τοιῶ<σ>δε σχηματισθεῖσαν ἐντυπωθείς, ἅπερ ἂν ἡ δύναμις τῆς ὥρας ἐκείνης ἔχουσα καταληφθῇ, ταῦτα καὶ περὶ τὸν βίον ἀνάγκῃ ἕξει καὶ ἄλλως οὐκ ἔχει.

Τί οὖν, εἶπον, αἱ κατὰ τὸν πόλεμον συμφοραί, καὶ οἱ σεισμοί, καὶ τῶν πόλεων αἱ καταπτώσεις, καὶ τὰ αὔτανδρα τῶν μυριοφόρων ὁλκάδων ναυάγια, ἐπικλύσεις τε καὶ ἐκπυρώσεις καὶ ὅσα τοιαῦτα πανωλεθρίας εἴδη, πῶς ταῦτα διασώζει τὸν τῆς προρρήσεως λόγον; Πόσα ἐν τοῖς προτέροις χρόνοις, πόσα δὲ καὶ ἐν τοῖς καθ᾽ ἡμᾶς ὁ βίος ἔδειξεν πάθη. Ἆρα πᾶσιν ἐκείνοις μία τῶν ἀστέρων σύνοδος τὰς ὠδῖνας τῶν γενέσεων ἔλυσεν, καὶ πᾶσιν ὁ Καρκῖνος ὡροσκοπῶν τὴν μοῖραν ἐπέβαλεν; Καὶ μὴν αἱ μυρίαι τῶν ἡλικιῶν τε καὶ ἀξιωμάτων διαφοραὶ τὸ μὴ πάντας ἀλλήλοις κατὰ ταὐτὸν τῇ γενέσει συνενεχθῆναι διαμαρτύρονται. Εἰ οὖν ὁ μὲν τῆς γενέσεως χρόνος ἑκάστῳ διάφορος, ἡ δὲ τῶν συμφορῶν ταυτότης οὐδεμίαν παραλλαγὴν ἐκ τῆς κατὰ τὴν γένεσιν αἰτίας ἐδέξατο, ἆρα

24 – 291, 2 Ἆρα – διελέγχεται] GREGORIUS NYSSENUS, *Contra fatum* (ed. McDonough, p. 52, 11–19)

1 ἐπεσκεμμένου] *correxi (ed.)*, ἐπισκημένου K **2** ἀραρότα] *correxi (ed.)*, ἀράροτα K *(in mg.* ζ<ή>τ<ει>*)* **4 – 5** ὁπότερον] *scripsi*, ὁ πατὴρ ὃς K **5** ἀμεταθέτου] *correxi (ed.)*, μεταθέτου K **6** λαβεῖν] *correxi (ed.)*, λαλεῖν K **9** τοῦτο, φημὶ] *correxi (ed.)*, τοῦτό φημι K **12** ἀεικίνητον] *correxi (ed.)*, ἀκίνητον K **16** τοιῶσδε] *correxi (ed.)*, τοιῶδε K **18** ἕξει] *correxi (ed.)*, ἕξη K **25** Καρκῖνος] *sic acc.* K **26** ὡροσκοπῶν] *correxi (ed.)*, ὀρόσκοπον K **30** ἄρα] ἆρα K[a. c.]

καὶ διὰ τούτων τὸ περὶ τὴν πρόρρησιν ἀπαγὲς καὶ ἀσύστατον διελέγχεται.

Εἰ μὲν γὰρ εἶχον ἀποδεικνύειν κατὰ μέρη τινὰ καὶ μὴ κατὰ τὸ ἀθρόον κατεσκευάσθαι τὴν γῆν, εἶχεν ἂν αὐτοῖς ἴσως καιρὸν ἡ ματαιολογία, τῷδε τῷ μέρει τῆς γῆς κτιζομένης, τῆσδε τῶν ἄστρων τῆς συμπλοκῆς ἐφαρμοσθείσης, ἢ τοῦτο ἢ ἐκεῖνο κατ᾽ ἀνάγκην γενέσθαι. Ἐπειδὴ πάντα μετ᾽ ἀλλήλων καταλαμβάνεται, οὐρανός, γῆ, θάλασσα, κατὰ δὲ τὸν Μωϋσέως λόγον καὶ προτερεύει ἡ γῆ τῆς τῶν ἄστρων κατασκευῆς καὶ κινήσεως, πῶς τῶν μερικῶν κατὰ τὴν γῆν συμπτωμάτων τὴν αἰτίαν εἰς τὴν τῶν ἄστρων ἀναθήσονται κίνησιν; Εἰ τοίνυν ὁμόχρονος τοῖς ἄστροις ἡ γῆ, καὶ οὐδεμίαν ἐκεῖθεν οὔτε συμπτώσεως οὔτε διαμονῆς αἰτίαν ἐπάγεται, ἐν μερικαῖς δὲ τισὶ τόποις περιγραφαῖς τὰ τοιαῦτα ὑφίσταται πάθη, ἄρ᾽ οὐχ᾽ εἱμαρμένης ἀνάγκῃ, ἀλλὰ κα<τά> τινα ἑτέραν ἰδιάζουσαν αἰτίαν ἐν τοῖς τοιούτοις συμπτώμασι γίνεται. Ὅταν οὖν πάθῃ τι τοιοῦτον ἡ γῆ, καί τινας τοιαύτας συμφορὰς κατεργάζεται, τῶν οἰκητόρων κατασεισθέντων τῷ καταπτώματι, τί ἐροῦσιν οἱ προσκυνοῦντες τὴν εἱμαρμένην, καὶ τὴν τῶν ἄστρων κίνησιν ἐπιστατεῖν τῶν ὄντων διοριζόμενοι; Πῶς ἐκεῖ τὸ νήπιον, τὸ βρέφος, τὸ μειράκιον, ὁ ἀνήρ, ὁ πατήρ, ὁ πρεσβύτης, ὁ εὐγενής, ὁ εὐπατρίδης, ὁ μισθωτός, ὁ δεσμώτης, οὔτε τῷ χρόνῳ τῆς γενέσεως, οὔτε διαφορᾷ τινὶ τῆς ἀξίας εἰς τὴν τῶν κακῶν ὁμοτιμίαν κωλύονται; Ἐγὼ δὲ Κρεῖττον μέν, ἔφην, ἐν τοῖς τοιούτοις δοκεῖν ἀγνοεῖν, ἢ γέλωτος ἀφορμὴν παρέχειν τοῖς ἀμαθεστέροις τὴν ἀλήθειαν τῶν ἡμετέρων δογμάτων.

Τίνα οὖν τῆς δεσποίνης ὑμῶν ἐκείνης ἐπὶ τοῖς τοιούτοις ἀπολογίαν εὑρήσετε; Ποῦ τὸ δίκαιον; Ποῦ τὸ εὐσεβές; Ποῦ τὸ ὅσιον; Ἢ τούτων οὐδενὸς μέλειν φῂς τῇ εἱμαρμένῃ, οὐδὲ πρὸς ἀρετὴν βλέπει, οὐδέ τινος τῶν ἀγαθῶν ἐπιμέλειαν ἔχει; Οὐκοῦν εἰ μὴ ταῦτα διὰ σπουδῆς ἐστιν αὐτῇ, περὶ τὸ ἐναντίον πάντως ἀσχοληθήσεται· ἡ γὰρ τοῦ ἀγαθοῦ ἀλλοτρίωσις τὴν πρὸς τὸ κακὸν οἰκειό-

8 – 9 cf. Gen. 1, 9 et 14

3 – 23 Εἰ – κωλύονται] Ibid. (p. 55, 13 – 56, 10) **23 – 25** Ἐγὼ – δογμάτων] Ibid. (p. 58, 5–7) **26 – 292, 27** Τίνα – γενέσθαι] Ibid. (p. 44, 15 – 46, 2)

3 κατὰ[1]] *in mg.* K **4** κατεσκευάσθαι] *correxi (ed.)*, κατασκευᾶσθαι K **5** κτιζομένης] *correxi (ed.)*, κτιζομένωι K **8** Μωϋσέως] μωσέως K$^{p. ras.}$ **14** κατά τινα] *correxi (ed.)*, κά τινα K **26** ὑμῶν] *correxi (ed.)*, ἡμῶν K **29** τῶν ἀγαθῶν] *in mg.* K

τητα σαφῶς ἐπιδείκνυσιν. Ἀλλ᾽ οὔτε τοῦτο τυχὸν οὔτε ἐκεῖνο διὰ φροντίδος εἶναι λέγεις αὐτῇ; Οὐκοῦν ἄψυχον αὐτὸ φὴς εἶναι καὶ ἀπροαίρετον, καλοῦ καὶ χείρονος ἀνεπαίσθητον. Εἶτα, ὃ μήτε ψυχὴν μήτε προαίρεσιν ἔχει, μήτε κατ᾽ ἰδίαν θεωρεῖται ὑπόστασιν, τοῦτο τοσαύτην μαρτυρεῖται παρ᾽ ὑμῖν ἔχειν τὴν δύναμιν, ὥστε τῶν προαιρετικῶν ζώων ἐπιστατεῖν καὶ κρατεῖν τῶν ὑφεστώτων τὸ ἀνυπόστατον, τῶν μετεχόντων ζωῆς τὸ ἀμέτοχον, τῶν ἐμψύχων τὸ ἄψυχον, τῶν προαιρέσει συζώντων τὸ ἀπροαίρετον, τῶν ἀρετὴν μετιόντων τὸ ἀρετῆς ἀπαράδεκτον, καθόλου τῶν ὄντων τὸ μὴ ὄν; Ἐν τίνι γὰρ καταλαμβάνεται τοῦ θρυλουμένου τούτου ὀνόματος ἡ ὑπόστασις; Ζῶον οὐκ ἔστιν, ἐν περιγραφῇ οὐχ᾽ ὁρᾶται, θεὸς οὐ νομίζεται. Πῶς γὰρ θεὸς ὁ μὴ πρὸς ἀρετὴν καὶ τὸ δίκαιον βλέπων; Ὃ δὲ μηδέν ἐστι τούτων, τί ἐστιν; Ἀλλ᾽ ἔοικεν παρ᾽ ὑμῖν τὸ ἀεὶ ἐνεστὸς τοῦ χρόνου εἱμαρμένη λέγεσθαι· πάσῃ δὲ κινήσει, εἴτε ποταμῶν, εἴτε ἄστρων, εἴτε ἀνθρώπων, ὁ χρόνος συμπαρεκτείνεται· διαφέρει δὲ οὐδὲν ἢ ὕδατι προσκαθήμενον τῇ κινήσει τοῦ ῥεύματος ἀποσημειοῦσθαι τὰ ἀκαριαῖα τοῦ ἀεὶ ἐνεστῶτος χρόνου τμήματα, ἢ νηὸς δι᾽ ἀνέμου κομιζομένης, ἢ ἀνθρώπων ὁδοιπορούντων, ἢ κινουμένων ἄστρων. Εἷς γὰρ ἐπὶ πάντων τῶν μεταβατικῶς κινουμένων ὅρος κινήσεως, ἡ ἀπὸ τοῦ ἐν ᾧ ἐστὶν ἐπὶ τὸ ἐν ᾧ οὐκ ἔστιν μετάστασις. Εἰ δὲ οὔτε ἡ τῶν ῥείθρων φορά, οὔτε ἡ τῶν πλοίων κίνησις, οὔτε ἡ τῶν ἀνθρώπων πορεία σημειουμένη τοῦ χρόνου τὰ διαστήματα εἱμαρμένας ποιεῖ, πῶς τὰ χρονικὰ σημεῖα τῆς τῶν ἄστρων κινήσεως <εἰς> εἱμαρμένης γένεσιν πλάττετε, καὶ φατὲ τήνδε τὴν ὥραν ἢ τῆς ὥρας τὸ ποστημόριον, ὅπερ τῷδε τῷ σημείῳ τῆς τῶν ἀστέρων κινήσεως ἐσημειώθη, εἱμαρμένη<ν> γενέσθαι;

Τὸ τοίνυν πεπεῖσθαι τοὺς ἐξηπατημένους μὴ ἐπὶ τῷ θείῳ βουλήματι τὰ κατὰ τὸν βίον κεῖσθαι, ἀλλ᾽ ἐπὶ τῇ τοιᾷδε τῶν ἄστρων διαπλοκῇ καὶ τῇ ἐκεῖθεν ἀπορρεούσῃ δυνάμει, πάντων μάλιστα πρὸς τὸν σκοπὸν τῆς βλαπτικῆς τῶν δαιμόνων φύσεως βλέπει.

28 – 31 Τὸ – βλέπει] GREGORIUS NYSSENUS, *Contra fatum* (ed. McDonough, p. 63, 2–6)

1 σαφῶς] *correxi (ed.)*, σοφῶς K **10** θρυλουμένου] *scripsi (ed.)*, θρυλλουμένου K **20** ἡ] *correxi (ed.)*, ἢ K **21** τὸ] *correxi (ed.)*, τῶ K **23** ποιεῖ] *correxi (ed.)*, ποιεῖν K **24** εἰς] *supplevi (ed.)*, *om.* K **26 – 27** εἱμαρμένην] *correxi (ed.)*, εἱμαρμένη K **29** κεῖσθαι] *correxi (ed.)*, κινεῖσθαι K **30** ἀπορρεούσῃ] *correxi (ed.)*, ἀπορρευούση K

II[1]409 / K cap. A 23, 7

Τοῦ ἁγίου Βασιλείου, ἐκ τοῦ ς′ λόγου τῆς Ἑξαημέρου·

Οἱ τῆς γενεθλιαλογίας ταύτης εὑρέται, καταμαθόντες ὅτι ἐν τῷ πλάτει τοῦ χρόνου πολλὰ τῶν σχημάτων αὐτοὺς διαφεύγει, εἰς στενὸν παντελῶς ἀπέκλεισαν τοῦ χρόνου τὰ μέτρα, ὡς παρὰ τὸ μικρότατον καὶ ἀκαριαῖον εἶναι, ὅ φησιν ὁ Ἀπόστολος τὸ *ἐν ἀτόμῳ* καὶ τὸ *ἐν ῥιπῇ ὀφθαλμοῦ*, μεγάλης οὔσης διαφορᾶς γενέσεως πρὸς γένεσιν.

II[1]410 / K cap. A 23, 8

Καὶ μετ᾽ ὀλίγα·

Καταγέλαστοι καὶ οἱ περὶ τὴν <ἀν>ύπαρκτον τέχνην ἐσχολακότες καὶ οἱ πρὸς αὐτοὺς κεχηνότες, ὡς δυναμένους εἰδέναι τὰ κατ᾽ αὐτούς.

II[1]411 / K cap. A 23, 9

Ἐκ τοῦ αὐτοῦ·

Ταῦτα μὲν αὐτῶν τὰ σοφὰ τοῖς τῶν ἀραχνίων ὑφάσμασιν ἔοικεν, οἷς ὅταν κώνωψ ἢ μυῖα ἢ τί τῶν παραπλησίων τούτοις ἀσθενῶν ἐνσχεθῇ, καταδεθέντα κρατεῖται, ἐπειδὰν δέ τι τῶν ἰσχυροτέρων

6 – 7 I Cor. 15, 52

3 – 8 II[1]409 Basilius Caesariensis, *Homiliae in Hexaemeron*, VI, 5 (ed. Mendieta†/Rudberg, p. 96, 17–21) **11 – 13 II[1]410** Basilius Caesariensis, *Homiliae in Hexaemeron*, VI, 5 (ed. Mendieta†/Rudberg, p. 98, 2–4) **16 – 294, 2 II[1]411** Basilius Caesariensis, *Homiliae in Hexaemeron*, VI, 6 (ed. Mendieta†/Rudberg, p. 98, 27 – 99, 4)

2 – 8 II[1]409 K cap. A 23, 7 (105v[23]–106r8) **10 – 13 II[1]410** K cap. A 23, 8 (106r[8]8–11) **15 – 294, 2 II[1]411** K cap. A 23, 9 (106r[11]12–18)

3 γενεθλιαλογίας] *correxi (ed.)*, γενεθλιωλογίας K εὑρέται] *sic acc.* K **11** ἀνύπαρκτον] *correxi (ed.)*, ὕπαρκτον **11 – 12** ἐσχολακότες] *correxi (ed.)*, ἠσχολακότες K **18** ἐνσχεθῇ] *correxi (ed.)*, ἐνεχθῆ K

ζώων ἐγγίσῃ, αὐτό τε ῥαδίως διεκπίπτει καὶ τὰ ἀδρανῆ ὑφάσματα διέρρηξε καὶ ἠφάνισεν.

II[1]412 / K cap. A 23, 10

Ἐκ τοῦ αὐτοῦ·

Ἐν δὲ τοῖς λόγοις τούτοις πολὺ μὲν τὸ ἀνόητον, πολυπλάσιον δὲ τὸ ἀσεβές. Οἱ γὰρ κακοποιοὶ τῶν ἄστρων τὴν ἑαυτῶν πονηρίαν ἐπὶ τὸν ποιήσαντα τιθέασιν. Εἰ μὲν ἐκ φύσεως αὐτῶν τὸ κακόν, ὁ δημιουργὸς ἔσται τοῦ κακοῦ ποιητής· εἰ δὲ ἀστέρες προαιρέσει κακύνονται, πρῶτον μὲν ἔσται ζῶα προαιρετικά, λελυμένα καὶ αὐτοκρατορικαῖς ὁρμαῖς κεχρημένα, ὃ μανίας ἐστὶν ἐπέκεινα <κατα>ψεύδεσθαι τῶν ἀψύχων.

II[1]413 / K cap. A 23, 11

Τοῦ μακαρίου Κυρίλλου, ἐκ τοῦ ι′ λόγου τῶν κατὰ Ἰουλιανοῦ·

Τοὺς τῶν ἀστέρων περιεργάζονται δρόμους, ὥς τι τῶν ἀναγκαίων ἔσθ᾽ ὅτε κατασημαίνοντας. Ἑλληνικῆς δὲ τοῦτό ἐστιν ἐμβροντησίας ἔγκλημα, καὶ μειρακιῶδες ἄθυρμα, καὶ φενακισμὸς εἰκαῖος, καὶ ἕτερον οὐδέν.

---

5 – 11 II[1]412 Basilius Caesariensis, *Homiliae in Hexaemeron*, VI, 7 (ed. Mendieta†/Rudberg, p. 99, 20 – 100, 2) **14 – 17 II[1]413** Cyrillus Alexandrinus, *Contra Iulianum imperatorem*, 10,38, 7–11 (ed. Kinzig/Brüggemann, p. 737)

---

4 – 11 II[1]412 K cap. A 23, 10 (106r[18]19–106v5) **13 – 17 II[1]413** K cap. A 23, 11 (106v[5–6]7–11)

II[1]413 τῶν] *correxi*, τὸν K

---

1 διεκπίπτη K[p. c.] **9** κακύνονται] *correxi (ed.)*, κακοῦνται K **10** ἐπέκεινα] *correxi (ed.)*, ἐπιέκεινα K **10 – 11** καταψεύδεσθαι] *correxi (ed.)*, ψεύδεσθαι K **16** φενακισμὸς] *correxi (ed.)*, φηνακισμὸς K εἰκαῖος] *correxi (ed.)*, εἴκεος K

II[1]414 / K cap. A 23, 12

Ἐκ τοῦ αὐτοῦ·

Ὁρᾷς τούτους τοὺς τὰ τῆς ἀπάτης ἔχοντας ἐργαστήρια; Αὐτοὶ τοὺς διάττοντας τῶν ἀστέρων ἀεὶ πῶς καταθαυμάζοντες, καὶ τῶν ἀγελαίων τὸν νοῦν †καταθρηνοῦντες†, ἁδρύνουσι τὰ βαλάντια, μᾶλλον δὲ σμικρὰ λημμάτια παρακλέπτοντες, τῆς οὕτω ψυχρᾶς τερατολογίας μισθοὺς ἐρανίζονται.

3 – 4 **II[1]414** Ὁρᾷς – καταθαυμάζοντες] CYRILLUS ALEXANDRINUS, *Contra Iulianum imperatorem*, 10,38, 32–34 (ed. Kinzig/Brüggemann, p. 738) **4 – 7** καὶ – ἐρανίζονται] IBID., 10,38, 36–38 (p. 738)

2 – 7 **II[1]414** K cap. A 23, 12 (106v[12]13–19)

4 διάττοντας] *correxi (ed.)*, διαλλάττοντας K ἀεὶ πῶς] *sic acc.* K **5** †καταθρηνοῦντες†] *cruces apposui*, *sic* K, καταθέλγοντες *ed.* **6** παρακλέπτοντες] *correxi (ed.)*, παραβλέποντες K

Τίτλος κδ′ Περὶ ἀπογνώσεως, ὅτι οὐ δεῖ ἡμᾶς, πρὸς <τὰς> τοῦ βίου ἀποβλέποντας δυσχερείας, τὴν ἰδίαν προδιδόναι σωτηρίαν δι᾽ ἀπογνώσεως, ἀλλὰ τῷ θεῷ τὰ καθ᾽ ἑαυτοὺς ἀνατίθεσθαι ἀεί, τῷ παρέχοντι σωτηρίαν τοῖς ἀπελπισμένοις.

μθ′ Περὶ ἀπογνώσεως, ὅτι οὐ δεῖ ἡμᾶς τῆς ἑαυτῶν ἀπογινώσκειν σωτηρίας.

ξα′ Περὶ ἀπογνώσεως, ὅτι οὐ δεῖ ἡμᾶς ἀπογινώσκειν τῆς ἑαυτῶν σωτηρίας.

II[1]415 / K cap. A 24, 1

Ἀπὸ τῶν Κριτῶν·

<E>ἶδεν κύριος τὴν ταπείνωσιν Ἰσραὴλ πικρὰν σφόδρα, καὶ ὀλιγοστοὺς συνεχομένους καὶ ἐσπανισμένους καὶ ἐγκαταλελειμμένους, καὶ οὐκ ἦν ὁ βοηθῶν τῷ Ἰσραήλ. Καὶ οὐκ ἐλάλησε κύριος ἐξαλεῖψαι τὸ σπέρμα Ἰσραὴλ ὑποκάτωθεν τοῦ οὐρανοῦ, καὶ ἔσωσεν αὐτοὺς διὰ χειρὸς Ἱεροβοὰμ υἱοῦ Ἰωᾶς.

---

1 – 3 ὅτι – ἀπογνώσεως] cf. II[1] / K[pin] Παραπομπὴ X 23

---

11 – 15 II[1]415 Iud., re vera IV Reg. 14, 26–27 (Wahl, *4 Könige-Text*, p. 133–134)

---

1 – 4 Titlos (a) K (106v20–107r1) **5 – 6 Titlos (b)** V H[I txt] A[I]; *deest in* H[I pin (lac.)] **7 – 8 Titlos (c)** PML[b pin] T[txt] R; *deest in* L[b txt] T[pin (lac.)] **10 – 15 II[1]415** K cap. A 24, 1 (107r[1]2–7); *deest in* V H[I] PML[b] T R

---

1 – 4 Titlos (a) **1 – 4** πρὸς – ἀπελπισμένοις] τῆς ἑαυτῶν σωτηρίας ἀπογινώσκειν K[pin] (*cf.* V H[I]A[I] titlos [*infra, sub* (b)]) **1** τὰς] *supplevi*, *om.* K[txt] **5 – 6 Titlos (b)** **5** μθ′] μς′ H[I txt] A[I txt] *(*μζ′ *exspectav. in* H[I txt] A[I txt]*)*, *propt. mg. resect. non liquet in* A[I pin] *(*μς′ *secund. ser.)*, *praem.* τίτλος V[W txt] **5 – 6** τῆς – σωτηρίας] ἀπογινώσκειν τῆς σωτηρίας ἡμῶν V[E pin] V[O pin] **7 – 8 Titlos (c)** **7** ξα′] τίτλος πγ′ T[txt], τίτλος ξη′ R[txt], ξη′ R[pin] **7 – 8** ὅτι – σωτηρίας] *om.* M[pin] **7** ὅτι] *praem.* καὶ R

---

11 Εἶδεν] *scripsi*, ἴδεν K **12** ἐπανισταμένους K[a. c.], ἐσπανισταμένους K[p. c.]

II[1]416 / K cap. A 24, 2

Ἀπὸ τοῦ Ἰώβ·

Πεποιθὼς ἔσῃ, ὅτι σοί ἐστιν ἐλπίς.

II[1]417 / K cap. A 24, 3

Ἡσαΐου προφήτου·

Οἱ ἀπελπισμένοι τῶν ἀνθρώπων ἐμπλησθήσονται εὐφροσύνης.

II[1]418 / K cap. A 24, 4

Τοῦ ἁγίου Βασιλείου, ἐκ τοῦ περὶ βαπτίσματος·

Οὐδεὶς φόβῳ τῶν στερήσεων τὰ ἀγαθὰ ἀπωθεῖται· οὕτω γὰρ ἂν οὐδὲν τῶν ἀνθρωπίνων συνέστη, εἰ ἐφ᾽ ἑκάστῳ τῶν σπουδαζομένων τὰς ἀποτυχίας ἐλογιζόμεθα. Παράκειται γὰρ τῇ γεωργίᾳ μὲν ἡ ἀφορία, ταῖς ἐμπορίαις δὲ τὰ ναυάγια, τοῖς γάμοις αἱ χηρεῖαι,

3 II[1]416 Iob 11, 18[1] **6 II[1]417** Is. 29, 19 (Wahl, *Prophetenzitate*, p. 361) **9 – 298, 3 II[1]418** Basilius Caesariensis, *Homilia exhortatoria ad S. baptisma*, 7 (PG 31, 441, 3–12)

2 – 3 II[1]416 K cap. A 24, 2 (107r[8]9); V cap. A 49, 1; H[I] cap. A 47, 1; PM cap. A 61, 1; T cap. A 83, 1; R cap. A 68, 1; *deest in* L[b]; PG 95, 1257, 11 **5 – 6 II[1]417** K cap. A 24, 3 (107r[9]10–11); V cap. A 49, 2; H[I] cap. A 47, 2; PM cap. A 61, 2; T cap. A 83, 2; *deest in* L[b] R; PG 95, 1257, 12–13 **8 – 298, 3 II[1]418** K cap. A 24, 4 (107r[11]12–21); V cap. A 49, 3; H[I] cap. A 47, 3; PM cap. A 61, 3; T cap. A 83, 3; R cap. A 68, 2; *deest in* L[b]; PG 95, 1257, 14–22

II[1]416 (a) K (b) Ἰώβ V[E]V[W] H[I] (c) Ἡσαΐου προφήτου PM T R ἡσαϊου P T προφήτου] *om.* PM R (d) Βασιλείου V[O] **II[1]417** (a) K V[W] προφήτου] *om.* V[W] (b) Βασιλείου V[E]V[O] H[I] βασίλειος H[I] (c) *s. a.* PM (d) *s. d.* T **II[1]418** (a) K PM T R Τοῦ ἁγίου] *om.* PM T βασιλειου M ἐκ τοῦ] *om.* P βαπτίσματος] *praem.* τοῦ T (b) Βασιλείου V[W] (c) *s. a.* V[E]V[O] H[I]

3 σὺ ἐστίν P, σύ εστιν T, εσται σοι M ἐλπίς] *praem.* ἡ K **6** ἀφελπισμένοι *(-μεν- P)* V[W] P πλησθήσονται *(-θη- M)* V[W p. ras.] PM T εὐφροσύνη V[W] **9** φόβῳ] *praem.* τῷ H[I] στερήσεων] κολασεων M ἀποθεῖται *(-ει- M)* V H[I] M T, ἀπὸ θεῖται P **10** ἀνθρώπων M ἐφ᾽ ἑκάστου V[W] R, ἐφεκάστου *(-κα- PM)* PM T **11** μὲν] *om.* V[E]V[W a. c. ut videtur] V[O] H[I] PM T R **12** ἀφορία] ἀφθορία K[a. ras. ut videtur]

ταῖς παιδοτροφίαις αἱ ἀτεκνώσεις, ἀλλ᾽ ὅμως ἐγχειροῦμεν τοῖς ἔργοις, ταῖς χρηστοτέραις ἐλπίσιν ἐπερειδόμενοι, τὴν δὲ τῶν ἐλπισθέντων ἔκβασιν ἀνατιθέντες τῷ τὰ ἡμέτερα οἰκονομοῦντι θεῷ.

II[1]419 / K cap. A 24, 5

Τοῦ θεολόγου Γρηγορίου, ἐκ τῶν τετραστίχων Γνωμῶν·

Πολὺς μέν ἐστιν ὁ προκείμενος δρόμος,
Πλείων δ᾽ ὁ μισθός. Μὴ βλέπων τὸ πᾶν ἅμα,
Τοῦ παντὸς ἐκστῇς. Καὶ πλέεις οὐ πᾶν ἅμα·
Πεῖρα πολλάκις καὶ τοῦτο τοῦ δυσμενοῦς.

II[1]420 / K cap. A 24, 6

Ἐκ τῶν αὐτῶν·

Μὴ σφόδρα θάρρει, μὴ δ᾽ ἀπέλπιζε ἄγαν·
Τὸ μὲν γὰρ ἐκλύει σε, τὸ δ᾽ ἀνατρέπει.
Τὸ μὲν κατόρθου, τοῦ δ᾽ ἔχου· τοῦ δ᾽ οὐ φθόνος.
Οὐχ᾽ ὡς ὁδοῦ τὸ λεῖπον ἀχρειοῖ πόνον.

12 – 15 exstat etiam ap. Ps.-Max. Conf., *Loci communes*, 67.9./38.9. (ed. Ihm, p. 983–984)

6 – 9 II[1]419 Gregorius Nazianzenus, *Carmina*, I,2,33 *(Tetrastichae sententiae)*, 37–40 (PG 37, 931, 1–4) **12 – 15 II[1]420** Gregorius Nazianzenus, *Carmina*, I,2,33 *(Tetrastichae sententiae)*, 41–44 (PG 37, 931, 5–8)

5 – 9 II[1]419 K cap. A 24, 5 (107r[22]23–107v3); *deest in* V H[I] PML[b] T R **11 – 15 II[1]420** K cap. A 24, 6 (107v[3]4–7); *deest in* V H[I] PML[b] T R

II[1]419 τετραστίχων] *scripsi*, Δ′στίχων K Γνωμῶν] *scripsi*, γνώμων K

1 ταῖς] *om.* K PM T R παιδοτροφίαι V[W a. c.], παιδοποιΐαις K αἱ] *om.* V[W a. c.] V[O] **3** οἰκονομοῦντι] κυβερνῶντι K **8** οὐ] τὸ K[a. c.] **9** Πεῖρα πολλάκις] *post* τοῦτο *hab. ed.* **12** θαρρεῖν *ed.* ἀπελπίζειν *ed.* **13** τὸ – ἀνατρέπει] τῷ δ᾽ ἀνατρέπῃ *ed.*

$II^{1}421$ / K cap. A 24, 7

Τοῦ ἁγίου Ἰωάννου, ἐκ τοῦ εἰς τὸν ἐκπεσόντα Θεόδωρον·

